υἱόν τε καὶ Κορνοῦτον μικροῦ μὲν ἐδέησεν ἀποκτεῖναι, τῆς δὲ Ῥώμης ἐξήλασεν· ἄλλο μὲν οὐδὲν ἐπικαλῶν, ὅτι δὲ σοφοὶ καὶ ἄριστοι βίον ἐγενέσθην. ad hanc relegationem, non ad alterum exilium, quo a Vespasiano multatus est, pertinent, ut iam supra monui, ea quae suum ipsius exilium spectans edisserit Musonius apud Lucium p. 49, 10 ss.: *ἀλλ' ἐγώ σοι οὐ δοκῶ εἶναι φυγάς; ἆρ' οὖν ἐστέρημαι παρρησίας; ἆρα ἀφῄρημαι τὴν ἐξουσίαν τοῦ ἃ φρονῶ λέγειν; ἤδη δέ με εἶδες ἢ σὺ ἢ ἕτερος ὑποπτήσσοντά τῳ ὅτι φεύγω; ἢ χεῖρον ἔχειν τὰ πράγματα νομίζοντα νῦν ἢ πρότερον; ἀλλ' οὐδὲ μὰ Δία λυπούμενον ἢ ἀθυμοῦντα διὰ τὴν φυγὴν φαίης ἂν ἑωρακέναι με. καὶ γὰρ εἰ τὴν πατρίδα τις [ἡμᾶς] ἀφῄρηται, τό γε δύνασθαι φέρειν φυγὴν οὐκ ἀφῄρηται.* neque igitur mirum quod etiam a posteris quaenam ratio inter principem et philosophum fuerit compluriens commemoratur. audiatur Themistius or. VII 94 a Dind.: *τοιγαροῦν Νέρωνος μὲν ἀοίδιμος ἡ πρὸς Μουσώνιον ἐπιείκεια, πρὸς Ἀλέξανδρον δὲ ὑπὲρ Καλλισθένους ἔτι καὶ νῦν ἀγανακτοῦμεν.* idem or. VI 72 d: *Πλάτωνα γοῦν ἐπίπρασκε Διονύσιος καὶ Νέρων Μουσώνιον ἐξεκήρυττε καὶ εἶργε τὸν ἐκ Τυάνων ὁ ἀδελφοκτόνος.* denique or. XXXIV c. 15: *καλῶς Νέρωνα ἀπετρέπετο Μουσώνιος κιθαρῳδοῦντα.* ipsius exilii infortunio inclaruisse Musonium etiam Lucianus commemorat de Peregr. morte c. 18: *πλὴν ἀλλὰ καὶ τοῦτο κλεινὸν αὐτοῦ* (sc. *Περεγρίνου*) *καὶ διὰ στόματος ἦν ἅπασιν, ὁ φιλόσοφος διὰ τὴν παρρησίαν καὶ τὴν ἄγαν ἐλευθερίαν ἐξελαθείς· καὶ προσήλαυνε κατὰ τοῦτο τῷ Μουσωνίῳ καὶ Δίωνι καὶ Ἐπικτήτῳ καὶ εἴ τις ἄλλος ἐν περιστάσει τοιαύτῃ ἐγένετο*, ubi in scholiis p. 248 ed. Iacobitz adnotantur haec: ⟨*ὅτι Μουσώνιος καὶ Δίων καὶ Ἐπίκτητος* (haec add. cod. Par.)⟩ *κυνικοὶ καὶ οὗτοι* (*καὶ οὗτοι* om. Par.) *ἢ καὶ ἄλλως φιλόσοφοι ἐλέγχειν ἔργον πεποιημένοι.* denique Iuliani Caesaris testimonium, cuius posterius paucula verba adscita sunt p. 49, 12, hic exscribendi locus est, epist. ad Themistium p. 343, 7 ss. 22 ss. Hertl. *ἀλλ' ἐπειδὴ πάλιν ἐοίκαμεν εἰς τὸν θεωρηματικὸν ὁρμήσαντες βίον τούτῳ παραβάλλειν τὸν πρακτικόν, ἐξ ἀρχῆς παραιτησαμένου καὶ σοῦ*

τὴν σύγκρισιν, αὐτῶν ἐκείνων, ὧν ἐπεμνήσθης, Ἀρείου, Νικολάου, Θρασύλλου καὶ Μουσωνίου μνημονεύσω . . . . . καὶ Μουσώνιος ἐξ ὧν ἔπαθεν ἀνδρείως καὶ νὴ Δί᾽ ἤνεγκεν ἐγκρατῶς τὴν τῶν τυράννων ὠμότητα γέγονε γνώριμος, ἴσως οὐκ ἔλαττον εὐδαιμονῶν ἐκείνων τῶν τὰς μεγάλας ἐπιτροπευσάντων βασιλείας.

Manifesto falsum est quod s. v. *Μουσώνιος Καπίτωνος* legimus apud Suidam: *διὰ γοῦν τὴν παρρησίαν καὶ τὸ ἐλεγκτικὸν καὶ τὸ ὑπερβάλλον τῆς ἐλευθερίας ὑπὸ Νέρωνος ἀναιρεῖται*, quamquam id s. v. *Κορνοῦτος* iteratur sic: *γεγονὼς ἐν Ῥώμῃ ἐπὶ Νέρωνος καὶ πρὸς αὐτοῦ ἀναιρεθεὶς σὺν τῷ Μουσωνίῳ.* et secum ipse pugnat Suidas cum iterat verba Iuliani *φεύγειν αὐτὸν ἐπέταττε Νέρων* infra nobis plenius adscribenda. rectius Ioannes Antiochenus exc. e Dione deriv. p. 755, 84 Boiss. cuius verba modo attulimus. Zellero autem si credimus *phil. der Gr.*[3] III 1 p. 730 adn., ansam erroris Suidae dederit Iustinus apolog. II 8 patrol. Gr. t. VI p. 457 Migne: *καὶ τοὺς ἀπὸ τῶν Στωϊκῶν δὲ δογμάτων, ἐπειδὴ κἂν τὸν ἠθικὸν λόγον κόσμιοι γεγόνασιν, ὡς καὶ ἔν τισιν οἱ ποιηταὶ διὰ τὸ ἔμφυτον παντὶ γένει ἀνθρώπων σπέρμα τοῦ λόγου μεμισῆσθαι καὶ πεφονεῦσθαι οἴδαμεν. Ἡράκλειτον μέν, ὡς προέφημεν, καὶ Μουσώνιον δὲ ἐν τοῖς καθ᾽ ἡμᾶς καὶ ἄλλους οἴδαμεν. ὡς γὰρ ἐσημάναμεν, πάντας τοὺς κἂν ὁπωσδήποτε κατὰ λόγον βιοῦν σπουδάζοντας καὶ κακίαν φεύγειν μισεῖσθαι ἀεὶ ἐνήργησαν οἱ δαίμονες.* in his quod legitur *ἐν τοῖς καθ᾽ ἡμᾶς* non nimis urguendum erit, si tamen apologias Iustini a. 150 scriptas esse veri simile est recteque nos supra diximus post primi saeculi finem Musonium vix iam fuisse.

Relegatus est autem Musonius a Nerone in Gyarum insulam, cuius inhospitalitati subvenit ille fonte aquae purae feliciter invento. et peregrinatus in insula hunc ipsum fontem agnovisse sibi visus est Ludovicus Ross *reisen auf den inseln des ägäischen meeres* II (Stutgardiae ed. a. 1843) p. 171.*) tantam autem nominis famam tunc

---

*) Rossii verba adpono: 'Südlich, dem Städtchen gegenüber,

iam assecutus erat Rufus, ut in tristem insulam, in qua mures ferrum rodere aiebant, sponte undique confflueret hominum multitudo ad philosophum audiendum. testis est Philostratus vit. Apoll. VII 16: *καὶ μὴν καὶ Μουσώνιον τὸν Τυρρηνὸν πολλὰ τῇ ἀρχῇ ἐναντιωθέντα τῇ νήσῳ ξυνέσχεν* (sc. *Νέρων*), *ᾗ ὄνομα Γύαρα, καὶ οὕτω τι τῶν σοφιστῶν τούτων ἥττους Ἕλληνες, ὡς τότε μὲν κατὰ ξυνουσίαν αὐτοῦ ἐσπλεῖν πάντας, νυνὶ δὲ κατὰ ἱστορίαν τῆς κρήνης· ἐν γὰρ τῇ νήσῳ ἀνύδρῳ οὔσῃ πρότερον εὕρημα Μουσωνίου κρήνη ἐγένετο, ἣν ᾄδουσιν Ἕλληνες, ὅσα Ἑλικῶνι τὴν τοῦ ἵππου.* cui adiungatur Iuliani Caesaris epistula *Θεοδώρῳ ἀρχιερεῖ* missa, quam plene edidit A. Papadopulos Kerameus mus. Rhen. XLII p. 24: *ἃ δ' οὖν ἐπῄνεσα διαφερόντως, ταῦτα εἰπεῖν οὐκ ἂν ὀκνήσαιμι· πρῶτον μέν, ὅτι τὴν παροινίαν, ἣν εἰς ἡμᾶς ὁ τῆς Ἑλλάδος ἡγεμὼν πεπαρῴνηκεν, εἴ γε τὸν τοιοῦτον ἡγεμόνα χρὴ καλεῖν ἀλλὰ μὴ τύραννον, οὔπω βαρέως ἤνεγκας, οὐδὲν ἡγούμενος τούτων εἰς σὲ γεγονέναι· τό γε μὴν τῇ πόλει βοηθεῖν ἐκείνῃ βούλεσθαι καὶ προθυμεῖσθαι, περὶ ἣν ἐποιήσω τὰς διατριβάς, ἐναργές ἐστι φιλοσόφου γνώμης τεκμήριον· ὥστε μοι δοκεῖ τὸ μὲν πρότερον Σωκράτει προσήκειν, τὸ δεύτερον δέ, οἶμαι, Μουσωνίῳ· ἐκεῖνος μὲν γὰρ ἔφη, ὅτι μὴ θεμιτὸν ἄνδρα σπουδαῖον πρός του τῶν χειρόνων καὶ φαύλων βλαβῆναι, ὁ δὲ ἐπεμέλετο Γυάρων, ὁπηνίκα φεύγειν αὐτὸν ἐπέταττε Νέρων.* extrema autem verba, quibus Gyari curam habuisse Musonium item testatur Iulianus, cum s. v. *Μουσώνιος Καπίτωνος* neglegentius excerperet Suidas, pro *ὁ δὲ ἐπεμέλετο Γυάρων* posuit *ὁ δὲ ἐπεμέλετο βαρῶν* addita etiam interpretatione nominis depravati hac *τουτέστι, τειχῶν. βάρεις γὰρ τὰ τείχη* vel sub v. *βάρεις* pleniore illa *βάρεις· πλοῖα, τείχη, στοαί, αὐλαί, πύργοι, σφαῖραι. ὁ δὲ ἐπεμέλετο*

---

tritt an dem Berghange eine klare und kühle Quelle aus dem Felsen hervor, von deren antiker Einfassung noch einige Steine mit dem daran klebenden alten Stuck erhalten sind.' ibidem hoc adnotatur: 'Wahrscheinlich ist es diese Quelle, welche der Stoiker Musonius während seiner Verbannung nach Gyaros berühmt machte.'

βαρῶν, τουτέστι τειχῶν. dici autem vix potest quam ludificarit criticorum acumen Suidae contextus, quo munus publicum a Musonio administratum (*ἐπεμέλετο βάρεων*) significari certatim demonstrare pergebant inde a Scaligero usque ad Buechelerum, quamquam hic quidem non sine nota dubitationis et modeste (mus. Rhen. XLI p. 1). quae conamina, nisi fumum dare voles ex fulgore, hodie praestat tacere. ad nihilum venerunt omnia scriptura vera a. 1885 a Papadopulo in lucem protracta. prolixius tamen rem ennarravit Salomo Reinach *Sur un témoignage de Suidas relatif à Musonius Rufus Comptes rendus de l'Acad. des Inscr.* t. XIII Paris. 1886 p. 339 ss.

Ad posteros venit fama constantiae illius, qua exilium toleravit Musonius principisque inhumanitati mentis quietem opposuit in tuto collocatae. quo autem magis res percrebruit, eo proclivius suboriri poterant etiam rumores fidei sublestioris. inter hos nescio an fuerit narratio ista, qua Musonium cum aliis damnatis iussu Neronis Isthmum fodisse ferebant, velut Philostratus vit. Apollon. V 19: *ἐκεῖνος* (sc. *Δημήτριος*) *καὶ Μουσωνίῳ ἔφασκεν ἐντετυχηκέναι περὶ τὸν Ἰσθμὸν δεδεμένῳ τε καὶ κεκελευσμένῳ ὀρύττειν, καὶ αὐτὸς μὲν ἐπευφημῆσαι τὰ εἰκότα, τὸν δὲ ἔχεσθαι τῆς σμινύης καὶ ἐρρωμένως τῇ γῇ ἐμβάλλειν, ἀνακύψαντα δὲ ʽλυπῶ σεʼ φάναι ʽὦ Δημήτριε, τὸν Ἰσθμὸν ὀρύττων τῇ Ἑλλάδι; εἰ δὲ καὶ κιθαρῳδοῦντά με εἶδες, ὥσπερ Νέρωνα, τί ἂν ἔπαθες;ʼ καὶ ἐάσθω τὰ Μουσωνίου πλείω ὄντα καὶ θαυμασιώτερα, ὡς μὴ δοκοίην θρασύνεσθαι πρὸς τὸν ἀμελῶς αὐτὰ εἰπόντα.* omitto eam fuisse veterum litteratorum consuetudinem, ut illustrioris nominis viros aequales et non aequales miro modo inter se convenire ingeniique acumine quasi concertare facerent. sed accuratius examinanti Philostrati narratiuncula ideo suspicionem movebit, quod Musonium miserandi partes Demetrio datae a Cynico, qualem quidem ex Seneca cognovimus, alienae sunt. adice quod Demetrio cum Musonio vix erat familiaritas. ea enim si fuisset, vix ille Egnatium Celerem contra Musonii accusationem ʽambitiosius quam honestiusʼ

defendisset. nec augetur rei fides eo, quod in Ps.-Luciani dialogo qui inscribitur *Νέρων ἢ περὶ τῆς ὀρυχῆς τοῦ Ἰσθμοῦ*, quo ad consilium Isthmi perfodiendi respicitur, non Demetrius sed Menecrates Lemnius cum Musonio colloquitur. apparet igitur modo huic modo illi interlocutoris personam tributam esse, ut ipsa colloquendi occasio incertior fiat. nec probavit mihi Kayser Ps.-Luciani dialogum Philostrato vindicandum esse Neronis aequali (cf. Bergk *fünf abh.* p. 183, Hirzel *der dial.* II p. 340). denique quae de Nerone disserentem fecit Musonium auctor dialogi, ea fallimur aut cum humanitate philosophi aliunde cognita parum concordant. haec considerans verum vidisse arbitror Hirzelium l. c. p. 245, cum totam Musonii Isthmo fodiendo operantis traditionem ficticiam esse iudicaret.

Non magis credibile puto quod apud eundem Philostratum legimus vit. Apoll. IV 35: *Νέρων οὐ ξυνεχώρει φιλοσοφεῖν, ἀλλὰ περίεργον αὐτῷ χρῆμα οἱ φιλοσοφοῦντες ἐφαίνοντο καὶ μαντικὴν συσκιάζοντες, καὶ ἤχθη ποτὲ ὁ τρίβων ἐς δικαστήριον, ὡς μαντικῆς σχῆμα. ἐῶ τοὺς ἄλλους, ἀλλὰ Μουσώνιος ὁ Βαβυλώνιος, ἀνὴρ Ἀπολλωνίου μόνου δεύτερος ἐδέθη ἐπὶ σοφίᾳ καὶ ἐκεῖ μένων ἐκινδύνευσεν, ἀπέθανε δ' ἂν τὸ ἐπὶ τῷ δήσαντι, εἰ μὴ σφόδρα ἔρρωτο.* nam testimonio huic de Musonio in carcerem coniecto crudeliterque vincto fidem opinor derogabis, si reputaveris in vinculis custodiaque habitum esse Musonium a solo tradi Philostrato et ita quidem, ut huic priori loco haereat mirus ille Musonius *ὁ Βαβυλώνιος*, alteri autem IV 46, ubi dicitur *Μουσώνιος κατειλημμένος ἐν τοῖς δεσμωτηρίοις τοῦ Νέρωνος*, additum sit fictum istud et inficetum Musonii cum Apollonio Tyanensi epistularum commercium, quod in calce libelli nos adiecimus. mihi autem num omnino inter notos habuerit Musonius Stoicus Apollonium Tyanensem ambiguum est. nam quae Suidas s. v. *Μουσώνιος* offert *γνώριμος δ' Ἀπολλωνίου τοῦ Τυανέως καὶ ἄλλων πολλῶν. πρὸς ὃν καὶ ἐπιστολαὶ φέρονται Ἀπολλωνίου, κἀκείνου πρὸς Ἀπολλώνιον*, ea ex ipso Philostrato

hausta esse iam supra monuimus. epistolia autem si adulterina sunt (sunt enim utroque indignissima), vereor ne et ea quae de Musonio in vincula condito narrantur suspectiora fiant. de Musonio 'Babylonio' autem, quem priore loco commemorat Philostratus, dubia res est. utrumque sane, et Tyrium, de quo supra monuimus, et Babylonium, eo pacto ad Volsiniensem referri posse opinatur Hirzel (*der dial.* II p. 245 adn. 1), ut Tyria patria et Babylonia inter fabellas habeatur, quibus vita philosophi, qui diu in ore hominum fuerit*), posteriore tempore obscurata sit. at de Pythagorae patria commenta, quibus vir doctus ad hanc de Musonio suspicionem confirmandam utitur, numne ea apte comparari possunt? nam ut consentaneum est exstitisse qui Pythagorae doctrinam reconditiorem eiusque praecepta a moribus Graecorum alieniora e remotissimo quoque fonte repeterent ipsumque philosophum Tyri patria orientali oriundum sibi fingerent (cf. Zeller *phil. der Gr.* I[4] p. 271), ita risum, vereor, movisset audientibus si quis in Stoici trita ac vulgari sapientia orientis arcana odorari voluisset. nihilo tamen plus apud me valet ea ratio qua olim Petrus Nieuwland in commentatione de vita Musonii Perlkampianae editioni praemissa Babylonium istum cum Volsiniensi confundi posse putabat, nam quae apud Philostratum leguntur *Μουσώνιος ὁ Βαβυλώνιος*, ea ex *M. ὁ Βουλσίνιος* vel *ὁ Καπίτωνος* depravata esse suspicatus est. optio difficilis erit inter has coniecturas, quarum neutra eam prae se ferat probabilitatis

---

*) Musonium nostrum respici puto etiam ab Himerio or. XXIII 21 p. 95, 3 Duebn.: *οἵαν τύχην ἀνθ' οἵων ἐλπίδων ὁ δαίμων μου κατεψήφισται. θρηνῶ νῦν ὃν δεινότερον ἤλπισα Μινουκιανοῦ φθέγξασθαι, σεμνότερον δὲ Νικαγόρου, Πλουτάρχου δὲ εὐγλωττότερον, Μουσωνίου δὲ φιλοσοφώτερον, Σέξτου δὲ καρτερικώτερον, πάντων δ' ὁμοῦ τῶν προγόνων λαμπρότερόν τε καὶ κρείττονα.* quamquam scio non defuisse qui aliter iudicarent. ceterum non rarum Musonii erat nomen. suorum temporum aequalem, Stoicum philosophum et ipsum, commemorat Longinus ap. Porphyrium de vita Plotini 20 p. 19, 16 Mueller.

speciem, qua merito acquiescas. nisi igitur Volsiniensem et Babylonium internosci volemus (cf. Hamaker lect. Philostr. p. 115), Philostratus, qui de vita Tyanensis scripserit non ante saeculi alterius finem, errores hoc loco commisit quibus probabiliter explicandis me imparem esse fatear.

Iam a Philostrati memoria dubia vel obscura ad Cornelii Taciti fidem probatam revertamur. hic autem Musonium a. 69 sapientia sua et facundia inter belli civilis tumultus ridicule deusum esse sic testatur hist. III 81: 'miscuerat se legatis (sc. a senatu ad Antonium missis) Musonius Rufus equestris ordinis, studium philosophiae et placita Stoicorum aemulatus, coeptabatque permixtus manipulis bona pacis ac belli discrimina disserens armatos monere. idque plerisque ludibrio, pluribus taedio; nec deerant qui propellerent proculcarentque, ni admonitu modestissimi cuiusque et aliis minitantibus omisisset intempestivam sapientiam.' in urbem igitur redierat Rufus a. 69, a Galba, ut videtur, de exilio revocatus (cf. Muson. fr. XLVII).

Exeunte anno eodem accusatur P. Egnatius Celer a Musonio in senatu. audi Tacitum hist. IV 10: 'tum invectus est Musonius Rufus in P. Celerem, a quo Baream Soranum falso testimonio circumventum arguebat. ea cognitione renovari odia accusationem videbantur. sed vilis et nocens reus protegi non poterat: quippe Sorani sancta memoria; Celer professus sapientiam, dein testis in Baream, cuius se magistrum ferebat, proditor corruptorque amicitiae. proximus dies causae destinatur; nec tam Musonius aut Publius quam Priscus et Marcellus ceterique, motis ad ultionem animis, exspectabantur.' deinde hist. IV 40: 'repeti inde cognitionem inter Musonium Rufum et Publium Celerem placuit, damnatusque Publius et Sorani manibus satis factum. insignis publica severitate dies ne privatim quidem laude caruit. iustum officium explesse Musonius videbatur, diversa fama de Demetrio Cynicam sectam professo, quod manifestum reum ambitiosius quam honestius defendisset; ipsi Publio neque animus in periculis neque oratio suppeditavit.' denique schol. ad Iuvenal.

sat. I 33: 'Soranum Baream Celer philosophus magister ipsius apud Neronem scelere delationis occidit, et ipse postea (a. 70) sub Vespasiano hoc ipsum Musonio Rufo accusante damnatus est.'

De altero Musonii exilio breviter monui supra. ac Muciano suasore Vespasianum philosophos uno excepto Musonio ex urbe pepulisse a. 71 tradit Cassius Dio epit. l. LXVI 13 p. 146 Boiss.: *ὡς δ' οὖν καὶ ἄλλοι πολλοὶ ἐκ τῶν στωικῶν καλουμένων λόγων προαχθέντες, μεθ' ὧν καὶ Δημήτριος ὁ κυνικός, συχνὰ καὶ οὐκ ἐπιτήδεια τοῖς παροῦσι δημοσίᾳ, τῷ τῆς φιλοσοφίας προσχήματι καταχρώμενοι, διελέγοντο, κἀκ τούτου καὶ ὑποδιέφθειρόν τινας, ἔπεισεν ὁ Μουκιανὸς τὸν Οὐεσπασιανὸν πάντας τοὺς τοιούτους ἐκ τῆς πόλεως ἐκβαλεῖν, εἰπὼν ὀργῇ μᾶλλον ἢ φιλολογίᾳ τινὶ πολλὰ κατ' αὐτῶν.* ib. p. 148: *καὶ πάντας αὐτίκα τοὺς φιλοσόφους ὁ Οὐεσπασιανός, πλὴν τοῦ Μουσωνίου, ἐκ τῆς Ῥώμης ἐξέβαλε, τὸν δὲ δὴ Δημήτριον καὶ τὸν Ὁστιλιανὸν καὶ ἐς νήσους κατέκλεισε.* inde Zonaras epit. hist. XI 17 vol. III p. 54, 3 ss. Dind.: *κατηγορίαν δὲ ὁ Μουκιανὸς τῶν φιλοσόφων πολλὴν ποιησάμενος ἔπεισε τὸν Οὐεσπασιανὸν ἐξελάσαι αὐτοὺς τῆς Ῥώμης· καὶ πλὴν τοῦ Μουσωνίου ἅπαντες ἀπηλάθησαν.* postea nihilo tamen setius Musonius expellitur, nam testatur Hieronymus s. a. 2095: 'Titus Musonium Rufum filosofum de exilio revocat.' cum quo conspirat Themistius or. XIII 173 c p. 212, 22 Dind.: *ὁ Σεβαστὸς Ἀρείῳ συνῆν τῷ Αἰγυπτίῳ καὶ Τίτος Μουσωνίῳ τῷ Τυρρηνῷ καὶ Τραϊανὸς Δίωνι τῷ ἐκ Βιθυνίας καὶ Μάρκος Ῥουστίκῳ.* Hieronymi autem memoria non ita uti debuit Henricus Weil *études sur l'antiquité grecque* p. 158, ut Xiphilini epitomatoris fidem suspectaret. uterque enim verum rettulit, tam Xiphilinus quam Hieronymus, modo statuamus non una cum reliquis philosophis Musonium a Vespasiano in exilium pulsum esse sed brevi temporis spatio interiecto. remque ante nos perspexit Hermannus Dessau l. c. II p. 394. haec igitur veterum scriptorum testimonia sunt, quibus etiam is nitatur oportet cui explicatius quam mihi propositum erat vitam Musonii enarrare in animo erit.

superest ut antequam librum de manibus depono gratias agam viro mihi amico studiisque gnomologicis coniunctissimo, Antonio Elter, qui dum legit plagulas has a prelo recentes ita me sibi devinxit, ut observationes aliquot bonae frugis plenas coniecturasve perutiles mecum communicaret, quarum nonnullas iam ipsi libro inserere, alias inter ADDENDA commemorare licebat.

Friburgi Brisgavorum mense Augusto a. MCMV.

C. MVSONII RVFI

DISSERTATIONVM A LVCIO DIGESTARVM RELIQVIAE

CONSPECTVS SIGLORVM

F Ioannis Stobaei codex Farnesinus (v. Wachsmuth Stob. I prol. p. XXV)
P Stobaei cod. Parisinus n. 2129 (v. Stob. I prol. p. XXVII)
L codex Laurentianus florilegii sacri profani (v. Wachsmuth Stob. I prol. p. XXVIII Hense Stob. III prol. p. XXXXIV)
S Stobaei codex Vindobonensis Sambuci (v. Stob. III prol. p. VII)
M Stobaei codex Escurialensis Mendozae (v. Stob. III prol. p. XXIX)
M[d] codicis Escurialensis collatio Dindorfiana (v. Stob. III prol. p. XXIX)
A Stobaei codex Parisinus n. 1984 (v. Stob. III prol. p. XXXVI)
Br Stobaei codex Bruxellensis (v. Stob. III prol. p. XXXXVIII).
Tr. Stobaei editio Trincavelliana ex codice Marciano expressa (v. Stob. III prol. p. XXIII)

I.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΟΤΙ ΟΥ ΔΕΙ ΠΟΛΛΑΙΣ ΑΠΟΔΕΙΞΕΣΙ ΠΡΟΣ ΕΝ ΠΡΑΓΜΑ ΧΡΗΣΑΣΘΑΙ.

Λόγου δέ ποτε γενομένου περὶ ἀποδείξεων, ἃς χρὴ 5
ἀκούειν τοὺς νέους παρὰ τῶν φιλοσόφων πρὸς κατά-
ληψιν ὧν μανθάνουσιν, ἔφη ὁ Μουσώνιος οὐχὶ πολ-
λὰς ἐφ' ἑκάστου πράγματος ζητεῖν ἀποδείξεις προσήκειν,
ἀλλ' ἀνυσίμους καὶ ἐναργεῖς. οὔτε γὰρ ἰατρὸς ἐκεῖ-
νος, ἔφη, ἐπαινετὸς ὁ φάρμακα πολλὰ προσφέρων τοῖς 10
νοσοῦσιν, ἀλλ' ὁ δι' ὀλίγων ὧν προσφέρει λόγου
ἀξίως ὠφελῶν· οὔτε φιλόσοφος ὁ διὰ πολλῶν ἀπο-
δείξεων διδάσκων τοὺς ἀκούοντας, ἀλλ' ὁ δι' ὀλίγων
ἐπάγων αὐτοὺς ἐφ' ὃ μέντοι βούλεται· καὶ ὁ ἀκουστὴς
ὅσῳπερ ἂν ᾖ συνετώτερος, τοσούτῳ μειόνων δεήσεται 15
τῶν ἀποδείξεων καὶ τοσούτῳ θᾶττον συναινέσει τῷ
κεφαλαίῳ τοῦ λόγου, ὄντι γε ὑγιεῖ. ὅστις δὲ παντα-

---

7 s. Seneca ep. 38, 1 *nec enim multis opus est, sed efficacibus.* cf. ep. 71, 4. vituperabat Zeno (Diog. Laert. VII 20) *τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδύνατα δέ* 9 philosophi cum medico, philosophiae cum arte medendi comparationis apud Cynicos et Stoicos ubivis obviae exempla non exscribo

---

1 Stobaeus II 31, 125 p. 240, 28 W.: ecl. cum lemm. hab. L ‖ 5 ἃ L ‖ 9 *ἰατρὸς* corr. ex *ἰατρικῆς* L ‖ 14 *μάλιστα* pro *μέντοι* Gercke ‖ 16 *τοσοῦτον* L: corr. Gaisford ‖ 17 *ὑγιεῖ* (vel *ἔχοντί γε ὑγιῶς*) Wyttenbach: *ὑγιῶς* L | *δὴ* L

χοῦ δεῖται ἀποδείξεως καὶ ὅπου σαφῆ τὰ πράγματά ἐστιν, ἢ διὰ πολλῶν ἀποδείκνυσθαι βούλεται αὐτῷ τὰ δι' ὀλίγων δυνάμενα, παντάπασιν ἄτοπος καὶ δυσμαθής. θεοὺς μὲν οὖν [οὐκ] εἰκὸς οὐδεμιᾶς ἀποδείξεως
5 δεῖσθαι πρὸς οὐδέν, ὅτι μήτε ἀσαφὲς μήτε ἄδηλόν ἐστιν αὐτοῖς μηδέν, πρὸς ⟨οἷα⟩ μόνα δεῖ τῶν ἀποδείξεων· τοὺς δὲ ἀνθρώπους ἀνάγκη τὰ μὴ φανερὰ μηδ' αὐτόθεν γνώριμα διὰ τῶν φανερῶν καὶ προδήλων ζητεῖν ἀνευρίσκειν, ὅπερ ἔργον ἀποδείξεώς ἐστιν. οἷον,
10 ὅτι ἡδονὴ οὐκ ἔστιν ἀγαθόν, αὐτόθεν μὲν οὐ δοκεῖ εἶναι γνώριμον, ἐπείπερ ἔργῳ προσκαλεῖται ἡμᾶς ὡς ἀγαθὸν οὖσα ἡ ἡδονή· λαβόντος δέ τινος λῆμμα γνώριμον τὸ πᾶν ἀγαθὸν αἱρετὸν εἶναι, καὶ προσλαβόντος ἕτερον γνώριμον τούτῳ τὸ τινὰς ἡδονὰς οὐχ αἱρετὰς
15 εἶναι, ἀποδεικνύομεν τὸ μὴ ἀγαθὸν εἶναι τὴν ἡδονήν, διὰ τῶν γνωρίμων τὸ μὴ γνώριμον. πάλιν ὡς ὁ πόνος οὐκ ἔστι κακόν, αὐτόθεν μὲν οὐ φαίνεται πιθανόν· τοὐναντίον γὰρ τούτου δοκεῖ πιθανώτερον, τὸ κακὸν εἶναι τὸν πόνον· τεθέντος δὲ φανεροῦ λήμματος, τοῦ
20 πᾶν τὸ κακὸν φευκτὸν εἶναι, καὶ προστεθέντος αὐτῷ φανερωτέρου τοῦ πόνους πολλοὺς οὐκ εἶναι φευκτούς, περαίνεται τὸ μὴ κακὸν εἶναι τὸν πόνον. τοιούτου δ' ὄντος τοῦ γένους τοῦ τῆς ἀποδείξεως, ἐπειδὴ τῶν

---

10 Diog. Laert. VII 103 ἀλλ' οὐδὲ τὴν ἡδονὴν ἀγαθόν φασιν Ἑκάτων τε ἐν τῷ θ' Περὶ ἀγαθῶν καὶ Χρύσιππος ἐν τοῖς Περὶ ἡδονῆς· εἶναι γὰρ καὶ αἰσχρὰς ἡδονάς· μηδὲν δὲ αἰσχρὸν εἶναι ἀγαθόν. cf. Chrysippi fr. mor. 156 ss. Arn. **13** cf. Stob. II p. 72, 19 ss. W.

---

2 ἢ Meineke: εἰ L | αὐτῷ L: corr. Meineke ‖ **4** οὐκ seclusit Wyttenbach ‖ **6** οἷα addidit Usener, ἃ Wyttenbach | δεῖ Wyttenbach: δὲ L ‖ **14** τοῦτο Wyttenbach | αἱρετὸν L: corr. Usener ‖ **21** φανεροῦ ἑτέρου pro φανερωτέρου prop. Wachsmuth

ἀνθρώπων οἱ μὲν ὀξύτεροι οἱ δ' ἀμβλύτεροί εἰσι καὶ οἱ μὲν ἐν ἔθεσι κρείττοσιν, οἱ δὲ ἐν χείροσι τεθραμμένοι, οἱ μὲν ἤθους ἢ φύσεως ὄντες χείρονος, πλειόνων δέοιντ' ἂν ἀποδείξεων καὶ πραγματείας μείζονος, ὥστε δέξασθαι ταυτὶ τὰ δόγματα καὶ τυπωθῆναι κατὰ 5 ταῦτα, καθάπερ οἶμαι καὶ τὰ πονηρὰ τῶν σωμάτων, ὁπόταν μέλλῃ καλῶς ἕξειν, πάνυ πολλῆς ἐπιμελείας δεῖται· ὅσοι δὲ τῶν νέων εὐφυέστεροι καὶ ἀγωγῆς μετεσχηκότες κρείττονος, οὗτοι ῥᾷόν τε καὶ θᾶττον καὶ δι' ὀλίγων ἀποδείξεων συναινοῖεν ἂν τοῖς λεγομένοις 10 ὀρθῶς καὶ ἀκολουθοῖεν. ὅτι δ' οὕτως ἔχει ταῦτα, γνοίημεν ἂν ῥᾳδίως, εἰ νοήσαιμεν μειράκιον ἢ νεανίαν, τὸν μὲν ἐν τρυφῇ πάσῃ τεθραμμένον καὶ τό τε σῶμα τεθηλυμμένον καὶ τὴν ψυχὴν ἐκλελυμένον ὑπὸ ἐθῶν ἀγόντων εἰς μαλακίαν, ἔτι δὲ νωθῆ παρεχόμενον καὶ 15 δυσμαθῆ τὴν φύσιν· τὸν δ' αὖ Λακωνικῶς πως ἠγμένον καὶ τρυφᾶν οὐκ εἰθισμένον καὶ καρτερεῖν μεμελετηκότα καὶ τῶν λεγομένων ὀρθῶς εὐήκοον ὄντα· εἶτα τοὺς δύο τούτους νεανίας εἰ θείημεν ἀκούοντας φιλοσόφου λέγοντος περὶ θανάτου, περὶ πόνου, περὶ πενίας, 20 περὶ τῶν ὁμοίων, ὡς οὐ κακῶν ὄντων, πάλιν δ' αὖ περὶ ζωῆς, περὶ ἡδονῆς, περὶ πλούτου, περὶ τῶν παραπλησίων τούτοις, ὡς οὐκ ἀγαθά ἐστιν, ἆρά γε ὁμοίως ἄμφω προσήσονται τοὺς λόγους καὶ παραπλησίως ἑκάτερος ⟨ἂν⟩ πίθοιτο τοῖς λεγομένοις; οὐκ ἔστιν εἰπεῖν. 25

---

8 ss. cf. Arr. Diss. Epict. III 6, 9 s.

---

3 χείρονος Meineke: χειρόνων L ‖ 5 κατ' αὐτὰ Nauck ‖ 7 μέλλοι L: corr. Meineke | καλῶς Wyttenbach: κακῶς L ‖ 14 τεθηλυμένον L: corr. Meineke ‖ 16 ἠγμένον Wyttenbach: ἠγωνισμένον L ‖ 22 τῶν om. vulg. ‖ 24 προσνήσονται L in corr. ‖ 25 ἂν addidit Meineke | πιθοῖτο L

ἀλλ᾽ ὁ μὲν μόγις καὶ βραδέως καὶ ὥσπερ μοχλευόμενος
ὑπὸ μυρίων λόγων τάχ᾽ ἂν ἐπινεύσειεν, ὁ νωθέστερος·
ὁ δ᾽ αὖ ταχέως καὶ ἑτοίμως δέξεται τὰ λεγόμενα ὡς
οἰκεῖα καὶ προσήκοντα αὑτῷ, μήτε ἀποδείξεων δεό-
5 μενος πολλῶν μήτε πραγματείας μείζονος. ἦ οὐ τοι-
οῦτος παῖς ἐκεῖνος ὁ Λάκων, ὃς Κλεάνθην τὸν φιλό-
σοφον ἠρώτησεν, εἰ ἀγαθὸν ὁ πόνος ἐστίν; οὕτω γὰρ
ἐκεῖνος φαίνεται φύσει πεφυκὼς καλῶς καὶ τεθραμ-
μένος εὖ πρὸς ἀρετήν, ὥστε ἐγγύτερον εἶναι νομίζειν τὸν
10 πόνον τῆς τἀγαθοῦ φύσεως ἢ τῆς τοῦ κακοῦ· ὅς γε
ὡς ὁμολογουμένου τοῦ μὴ κακὸν ὑπάρχειν αὐτόν, εἰ
ἀγαθὸν τυγχάνει ὤν, ἐπυνθάνετο. ὅθεν καὶ ὁ Κλε-
άνθης ἀγασθεὶς τοῦ παιδὸς εἶπεν ἄρα πρὸς αὐτόν·

αἵματος εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ᾽ ἀγορεύεις.

15 πῶς οὖν ὁ τοιοῦτος οὐ ῥᾳδίως ἐπείσθη ἂν μήτε πενίαν
μήτε θάνατον δεδιέναι μήτ᾽ ἄλλο μηδὲν τῶν δοκούν-

---

5 ss. Diog. Laert. VII 172 *Λάκωνός τινος εἰπόντος, ὅτι ὁ πόνος ἀγαθόν, διαχυθεὶς φησιν* (sc. *ὁ Κλεάνθης*) '*αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος*'. fortasse concludi ex his licere *πόνον* a Cleanthe relatum esse inter *προηγμένα* monuit Pearson *the fragm. of Zeno and Cleanthes* p. 329, vide eiusdem adnot. ad Zenonis fr. 128 p. 169. *ὅτι ὁ πόνος ἀγαθόν* Antisthenes Diog. Laert. VI 2. *ὅτι τὰ ἀγαθὰ τῷ πόνῳ πάντα κτώμεθα* Musonius infra p. 31, 11, sed inter *ἀδιάφορα* numeratum esse *πόνον* a Musonio tam ex prioribus elucet (*περὶ θανάτου, περὶ πόνου, περὶ πενίας . . . ὡς οὐ κακῶν ὄντων* p. 3, 20 s.) quam ex eis quae huic de puero Lacone historiolae subiecit *πῶς οὖν ὁ τοιοῦτος κτέ.* **14** Hom. δ 611

---

4 *αὐτῷ* L: corr. Meineke ‖ **5** *ἦ οὐ* Pflugk: *ἢ ὁ* L ‖ **8** *καλὸς* L: corr. Pflugk ‖ **9** *ἐγγύτερον* scripsi: *ἔγγυον* L; *ἔγγιον* Emperius op p. 238 et Pflugk, sed *ἐγγύτερον* Lucius ipse p. 79, 1 ‖ **10** *ἢ* Pflugk: *καὶ* L | *ὅς γε* Pflugk: *ὥστε* L ‖ **11** *εἰ* Halm lect. Stob. p. 1: *ἢ* L ‖ **12** *ὢν* Halm: *ὃν* L ‖ **14** *φίλον* etiam L teste R. Schoell | *οἷ᾽ ἀγορεύεις* om. Diog. Laert.

των φοβερῶν, μηδ' αὖ διώκειν πλοῦτον ἢ ζωὴν ἢ ἡδονήν;

Ἵνα δὲ ἐπὶ τὴν ἀρχὴν ἐπανέλθω τοῦ λόγου, φημὶ δεῖν τὸν διδάσκαλον τοῦ φιλοσόφου μὴ λόγων πλῆθος μηδ' ἀποδείξεων ζητεῖν διεξιέναι πρὸς τοὺς μανθάνοντας, ἀλλὰ καιρίως περὶ ἑκάστου λέγειν καὶ καθικνεῖσθαι τῆς διανοίας τοῦ ἀκούοντος, καὶ ⟨ἃ .... πει⟩στικὰ εἶναι λέγειν καὶ ἀνατραπῆναι μὴ ῥᾴδια, καὶ μάλιστά γε τῷ παρέχειν αὑτὸν περί τε τῶν χρησιμωτάτων λέγοντα καὶ ὁμολογούμενα οἷς λέγει πράττοντα, τούτῳ μεταχειριζόμενον τοὺς ἀκούοντας· τὸν δὲ μαθητὴν ἐντετάσθαι πρὸς τὰ λεγόμενα καὶ σκοπεῖν μὲν ὅπως μὴ λάθῃ ψεῦδός τι παραδεξάμενος· τῶν δὲ ἀληθῶν μὴ μὰ Δία πολλὰς ζητεῖν ἀποδείξεις ἀκούειν, ἀλλ' ἐναργεῖς· καὶ ἅπερ ἂν πεισθῇ τῶν παραινουμένων ἑαυτῷ εἶναι καὶ ἀληθῆ, τούτοις ἐπακολουθεῖν ἐν τῷ

---

6 s. cf. Seneca ep. 40, 4 *quid, quod haec oratio, quae sanandis mentibus adhibetur, descendere in nos debet? remedia non prosunt, nisi inmorantur.* 15 ss. Sen. ep. 20, 2 *hoc exigit* (philosophia), *ut ad legem suam quisque vivat, ne orationi vita dissentiat* e. q. s.

---

1 *φοβερῶν* Wyttenbach: *φανερῶν* L | *μὴ δὲ* L: *μήτε* Gaisford inutiliter, cf. p. 11, 14 H. ‖ 4 *τοῦ φιλοσόφου* L: aut delendum putat *τοῦ φ.* Peerlkamp p. 380, aut quod probavit Wachsmuth, in *τὸν φιλόσοφον* mutandum, *βίου φιλοσόφου* coni. Iacobs lect. Stob. p. 151, *τοῦ φιλοσοφεῖν* Meineke. sed vereor ne quid interciderit, velut *τὸν διδάσκαλον⟨, εἴπερ ἀξίως θέλει διδάσκειν⟩ τοῦ φιλοσόφου, μὴ κτέ.* sim. ‖ 6 *καὶ καθικνεῖσθαι* L: *καὶ ⟨ἃ⟩ καθικνεῖται* scr. Wachsmuth, dubito ‖ 7 *καὶ ἃ ἔγνω πειστικὰ εἶναι λέγειν* conieci: *καὶ* lac. 8 litterarum *στικὰ εἶναι λέγειν* L. *καὶ ⟨πει⟩στικὰ εἶναι ⟨ἃ⟩ λέγει* Meineke. spatiolum excedit *καὶ ⟨ἃ μέλλει πει⟩στικὰ κτέ.* ‖ 9 *αὐτὸν* L: corr. Meineke | *τε* Meineke: *γε* L ‖ 11 *τούτῳ μεταχειρ.*] ad *μεταχ.* frustra infinitivum desiderare Meinekium monet Wachsmuth. ceterum etiam de medici curatione in usu est *μεταχειρίζεσθαι* (Plat. de re p. III p. 408 C): respicitur ad initium sermonis p. 1, 9 ss.

βίῳ. οὕτω γὰρ μόνως ἔσταί τις ἐκ φιλοσοφίας ὠφελημένος, ἂν οἷς παραδέδεκται λόγοις οὖσιν ὑγιέσι τὰ ἔργα παρέχηται συνῳδά.

II.

ΜΟΥΣΩΝΙΟΥ.

5 *Πάντες, ἔφη, φύσει πεφύκαμεν οὕτως, ὥστε ζῆν ἀναμαρτήτως καὶ καλῶς, οὐχ ὁ μὲν ἡμῶν ὁ δ' οὔ· καὶ τούτου μέγα τεκμήριον ὅτι πᾶσιν ὁμοίως οἱ νομοθέται καὶ προστάττουσιν ἃ χρὴ ποιεῖν καὶ ἀπαγορεύουσιν ἃ μὴ χρή, οὐχ ὑπεξαιρούμενοι οὐδένα τῶν ἀπει-
10 θούντων ἢ τῶν ἁμαρτανόντων, ὥστε ἀτιμώρητον εἶναι, οὐ νέον, οὐ πρεσβύτην, οὐκ ἰσχυρόν, οὐκ ἀσθενῆ, οὐχ ὁντιναοῦν. καίτοι ἐχρῆν, εἰ ὅλον ἐπείσακτον τ τῆς ἀρετῆς ἦν, καὶ μηδὲν αὐτοῦ φύσει ἡμῖν μετῆν, ὥσπερ οὐδ' ἐν τοῖς ὑπὸ τὰς ἄλλας τέχνας οὖσιν ἔργοις οὐδεὶς
15 ἀπαιτεῖται εἶναι ἀναμάρτητος, μὴ μεμαθηκὼς τὴν τέχνην, οὕτως μηδ' ἐν τοῖς κατὰ τὸν βίον μηδένα ἀπαιτεῖσθαι εἶναι ἀναμάρτητον, ὅστις ἀρετὴν μὴ ἐξέμαθεν, ἐπείπερ ἀρετὴ μόνη ποιεῖ μὴ ἁμαρτάνειν ἐν βίῳ. νῦν δὲ ἐν μὲν θεραπείᾳ καμνόντων οὐδεὶς ἀναμάρτητον*

---

5 Sen. de benef. III 18, 2 *nulli praeclusa virtus est; omnibus patet, omnes admittit.* de ira II 13, 1 *sanabilibus aegrotamus malis, ipsaq. nos in rectum genitos natura, si emendari velimus, iuvat.* Marcus Anton. VIII 29 al.

---

1 *μόνος* L ‖ 4 Stobaeus II 9, 8 p. 183 W. ecl. cum lemm. hab. FP; *οὐσωνίου* F mrg. inscriptionem huius dissertationis olim fuisse *Μουσωνίου ἐκ τοῦ Ὅτι μέτεστιν ἀρετῆς φύσει ἡμῖν* sim. suspicatur Th. Pflieger *Musonius bei Stobaeus* (diss. Friburgi Br. ed. a. 1897) p. 5 ‖ 7 *τούτου* Heeren et Nieuwland: *τοῦτο* F

ἀξιοῖ εἶναι ἄλλον ἢ τὸν ἰατρὸν καὶ ἐν χρήσει λύρας
οὐδένα ἄλλον ἢ τὸν μουσικὸν ⟨καὶ⟩ ἐν χρήσει πηδα-
λίων οὐδένα ἄλλον ἢ τὸν κυβερνήτην· ἐν δὲ τῷ βίῳ
οὐκέτι μόνον ἀναμάρτητον εἶναι τὸν φιλόσοφον ἀξι-
οῦσιν, ὃς δοκεῖ μόνος ἐπιμελεῖσθαι ἀρετῆς, ἀλλ' ὁμοίως 5
ἅπαντας καὶ τοὺς μηδεμίαν ἐπιμέλειαν ταύτῃ πεποιη-
μένους. δῆλον οὖν, ὡς οὐδὲν ἕτερον τούτου αἴτιον
ἢ τὸ πρὸς ἀρετὴν γεγονέναι τὸν ἄνθρωπον. καὶ μὴν
κἀκεῖνο μέγα τεκμήριον τοῦ μετεῖναι ἀρετῆς φύσει ἡμῖν,
τὸ πάντας οὕτως διαλέγεσθαι περὶ ἑαυτῶν, ὡς ἐχόντων 10
ἀρετὴν καὶ ὄντων ἀγαθῶν. οὐδεὶς γάρ ἐστι τῶν πολλῶν,
ὃς ἐρωτώμενος πότερον ἄφρων ἢ φρόνιμος τυγχάνει ὤν,
ἄφρων ὁμολογήσει εἶναι· οὐδ' αὖ ἐρωτώμενος πότερον
ἄδικος ἢ δίκαιος τυγχάνει ὤν, φήσει ὅτι ἄδικος. ὁμοίως
δὲ κἂν ἐρωτᾷ τις πότερα σώφρων ἢ ἀκόλαστος, † ἦθ' 15
οὕτως ἀποκρίνεται ἐρωτηθείς, ὅτι σώφρων· καὶ ἁπλῶς
ἂν ἐρωτᾶταί τις πότερον ἀγαθὸς εἴη ἢ φαῦλος, φαίη
ἂν ἀγαθός, καὶ ταῦτ' οὐκ ἂν ἔχων εἰπεῖν οὔτε διδά-
σκαλον αὑτοῦ καλοκἀγαθίας, οὔτε μάθησιν ἀρετῆς ἢ
ἄσκησιν τίνα τυγχάνει πεποιημένος. τοῦτ' οὖν τίνος 20
ἄλλου τεκμήριόν ἐστιν ἢ τοῦ φυσικὴν εἶναι ὑποβολὴν

---

12 cf. Arr. Epict. diss. II 21, 1 *οὐδεὶς οὖν ὁμολογήσει ὅτι ἄφρων ἐστὶν ἢ ἀνόητος, ἀλλὰ πᾶν τοὐναντίον κτέ.* **19 s.** *μάθησιν ἀρ. ἢ ἄσκησιν*] cf. Musonius infra p. 23, 14 s. **21** *ὑποβολὴν . . . καὶ σπέρμα*] Sen. ep. 108, 8 *omnibus enim natura fundamenta dedit semenque virtutum*

---

2 *καὶ* ante *ἐν* addidit Meineke ‖ **14** *φησὶν* F: corr. Meineke ‖ **15** *ἐρωτᾶταί τις* Meineke. sed sic abundabit *ἐρωτηθείς* | *πότερον* vulg. | *ἦθ' οὕτως* F corrupte: *ἤθει, πᾶς* Iacobs ep. cr. p. 240 *εἶθ' οὕτως* obs. miscell. VII p. 193, *εἶθ' ἅπας* scr. Wachsmuth. an *ἕκαστος*? ‖ **17** *ἐρωτᾶται* Wachsmuth: *ἐρωτᾶ* FP; *ἂν ἐρωτᾶ τις* delet Peerlkamp p. 280 | an *φαίη ἂν ἀγαθὸς ⟨εἶναι⟩, καὶ ταῦτ' οὐκ κτέ.*? ‖ **19** *αὐτοῦ* F: corr. Meineke ‖ **20** *τίνα* Vsener: *ἣν* F; *εἰ* Meineke

τῇ τοῦ ἀνθρώπου ψυχῇ πρὸς καλοκἀγαθίαν καὶ σπέρμα
ἀρετῆς ἑκάστῳ ἡμῶν ἐνεῖναι. διὰ δὲ τὸ πάντως ἀγα-
θοὺς ὑπάρχειν προσήκειν ἡμῖν, οἱ μὲν ἀπατώμεθα ὡς
καὶ δὴ ὄντες ἀγαθοί, οἱ δὲ αἰσχυνόμεθα ὁμολογεῖν
5 ⟨ὅτι⟩ οὐκ ἐσμέν. ἐπεὶ διὰ τί, πρὸς θεῶν, γράμματα
μὲν ἢ μουσικὴν ἢ παλαιστρικὴν οὐδεὶς μὴ μαθὼν
εἰδέναι φησίν, οὐδὲ ἔχειν τὰς τέχνας ταύτας προσποι-
εῖται, μὴ καὶ διδάσκαλον παρ' ὃν ἐφοίτα ἔχων εἰπεῖν,
ἀρετὴν δὲ ἔχειν πᾶς ὑπισχνεῖται; ὅτι ἐκείνων μὲν
10 οὐδενὸς φύσει τῷ ἀνθρώπῳ μέτεστιν, οὐδὲ ἥκει ⟨τις⟩
εἰς τὸν βίον ἔχων ὑποβολὰς * * *

III.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΟΤΙ ΚΑΙ ΓΥΝΑΙΞΙ ΦΙΛΟΣΟΦΗΤΕΟΝ.

15 Ἐπεὶ δ' ἐπύθετό τις αὐτοῦ, εἰ καὶ γυναιξὶ φιλο-
σοφητέον, οὕτω πως ἤρξατο διδάσκειν ὡς φιλοσοφη-

9 Arr. Epict. diss. II 11, 2 s. ὀρθογωνίου μὲν γὰρ τριγώ-
νου ἢ διέσεως ⟨ἢ⟩ ἡμιτονίου οὐδεμίαν φύσει ἔννοιαν ἥκομεν
ἔχοντες, ἀλλ' ἔκ τινος τεχνικῆς παραλήψεως διδασκόμεθα ἕκαστον
αὐτῶν, καὶ διὰ τοῦτο οἱ μὴ εἰδότες αὐτὰ οὐδ' οἴονται εἰδέναι.
ἀγαθοῦ δὲ καὶ κακοῦ καὶ καλοῦ καὶ αἰσχροῦ καὶ πρέποντος καὶ
ἀπρεποῦς . . . καὶ ὅ τι δεῖ ποιῆσαι καὶ ὅ τι οὐ δεῖ ποιῆσαι τίς οὐκ
ἔχων ἔμφυτον ἔννοιαν ἐλήλυθεν; haec bene adscripsit Nieuw-
land 12 statuisse Stoicos mulieribus esse philosophandum

---

5 ὅτι addidi; ὡς inseruit Heeren ‖ 8 μηδὲ pro μὴ καὶ dubi-
tanter prop. Wachsmuth ‖ 9 post ὑπισχνεῖται signum inter-
rogationis posuit Peerlkamp ‖ 10 οὐδὲν F: corr. Vsener | τις
ante εἰς addidit Meineke ‖ 11 ἔχον F: corr. Heeren | post ὑπο-
βολὰς, quo verbo explicit F, fere supplenda esse πρὸς αὐτά,
τῆς δὲ ἀρετῆς σπέρματα ἑκάστῳ ἡμῶν ἔνεστιν coniecit Nieuw-
land apud Peerlk. p. 280, πρὸς αὐτὰ φυσικάς, τὸ δὲ τῆς ἀρετῆς
πᾶσιν ἐμπέφυκεν Meineke ‖ 12 Stob. II 31, 126 p. 244 W.: ecl.

τέον αὐταῖς. Λόγον μέν, ἔφη, τὸν αὐτὸν εἰλήφασι παρὰ θεῶν αἱ γυναῖκες τοῖς ἀνδράσιν, ᾧ τε χρώμεθα πρὸς ἀλλήλους καὶ καθ᾽ ὃν διανοούμεθα περὶ ἑκάστου πράγματος, ⟨εἰ⟩ ἀγαθὸν ἢ κακόν ἐστι, καὶ καλὸν ἢ αἰσχρόν. ὁμοίως δὲ καὶ αἰσθήσεις τὰς αὐτὰς ἔχει τὸ 5 *θῆλυ τῷ ἄρρενι, ὁρᾶν, ἀκούειν, ὀσφραίνεσθαι καὶ τὰ ἄλλα. ὁμοίως δὲ καὶ μέρη σώματος τὰ αὐτὰ ὑπάρχει ἑκατέρῳ, καὶ οὐδὲν θατέρῳ πλέον. ἔτι δὲ ὄρεξις καὶ οἰκείωσις φύσει πρὸς ἀρετὴν οὐ μόνον γίνεται τοῖς ἀνδράσιν, ἀλλὰ καὶ γυναιξίν· οὐδὲν γὰρ ἧττον αὗταί* 10 *γε τῶν ἀνδρῶν τοῖς μὲν καλοῖς καὶ δικαίοις ἔργοις ἀρέσκεσθαι πεφύκασι, τὰ δ᾽ ἐναντία τούτων προβάλλεσθαι. τούτων δὲ ταύτῃ ἐχόντων, διὰ τί ποτ᾽ οὖν τοῖς μὲν ἀνδράσι προσήκοι ἂν ζητεῖν καὶ σκοπεῖν ὅπως βιώσονται καλῶς, ὅπερ τὸ φιλοσοφεῖν ἐστι, γυναιξὶ* 15 *δὲ οὔ; πότερον ὅτι ἄνδρας μὲν προσήκει ἀγαθοὺς εἶναι, γυναῖκας δὲ οὔ; σκοπῶμεν δὲ καὶ καθ᾽ ἓν ἕκαστον τῶν προσηκόντων γυναικὶ τῇ ἐσομένῃ ἀγαθῇ· φανεῖ-*

---

testatur Lactantius inst. div. III 25. cf. Clemens Al. strom. IV 8 p. 590 et 592 P., etiam quae adnotavimus infra p. 13, 4
8 ss. cf. Sen. dial. VI 16, 1 G. *quis autem dixerit naturam maligne cum mulierum ingeniis egisse et virtutes illarum in artum retraxisse? par illis, mihi crede, vigor, par ad honesta, libeat ⟨tantum⟩, facultas est* **14** s. cf. Arr. Epict diss. IV 1, 63

---

cum lemm. servavit L, ubi in margine adscribuntur ⟨πρ⟩όσφορα ταῦτα ⟨εἰς τ⟩ὸν περὶ γυναικὸς ⟨ἀν⟩δρείας τίτλον. quae bibliopega resecuit, supplevit Wachsmuth ‖ **4** *εἰ* tacite addidit Nieuwland ap. Peerlkampum p. 89 adn. 1, *ὅτι* suppleri voluit Wyttenbach, *πότερον* Meineke ‖ **5** *αἰσθήσει* L ‖ **8** *ὀρέξεις καὶ οἰκειώσεις* L: corr. Halm lect. Stob. p. 9 ‖ **13** *ποτε οὖν* (vel *πρὸς θεῶν*) scripsi: *πρότερον* L. *πρότερον* secludi voluit Cobet mnemos.[2] II p. 450, cui obsecutus est Wachsmuth ‖ **16** *οὔ; πότερον ὅτι* Iacobs lect. Stob. p. 152: *οὐ πρότερον· ὅτι* L

ται γὰρ ἀπὸ φιλοσοφίας τούτων ἕκαστον μάλιστ' ἂν
αὐτῇ περιγινόμενον. αὐτίκα δεῖ οἰκονομικὴν εἶναι τὴν
γυναῖκα καὶ ἐκλογιστικὴν τῶν οἴκῳ συμφερόντων καὶ
ἀρχικὴν τῶν οἰκετῶν. ταῦτα δ' ἐγὼ φημὶ τῇ φιλοσο-
5 φούσῃ ὑπάρξαι ἂν μάλιστα· εἴ γε ἕκαστον μὲν τούτων
μέρος τοῦ βίου ἐστίν, ἐπιστήμη δὲ περὶ βίον οὐχ ἑτέρα
τις ἢ φιλοσοφία ἐστί, καὶ ὁ φιλόσοφος, ὥσπερ ἔλεγε
Σωκράτης, τοῦτο διατελεῖ σκοπῶν,

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

10 ἀλλὰ δεῖ δὴ καὶ σώφρονα εἶναι τὴν γυναῖκα· οἵαν
καθαρεύειν μὲν ἀφροδισίων παρανόμων, καθαρεύειν
δὲ τῆς περὶ τὰς ἄλλας ἡδονὰς ἀκρασίας, μὴ δουλεύειν
ἐπιθυμίαις, μηδὲ φιλόνεικον εἶναι, μὴ πολυτελῆ, μὴ
καλλωπίστριαν. ταῦτα μὲν ἔργα τῆς σώφρονός ἐστι·
15 καὶ ἔτι πρὸς τούτοις ἐκεῖνα· κρατεῖν μὲν ὀργῆς, μὴ
κρατεῖσθαι δ' ὑπὸ λύπης, κρείττονα δὲ πάθους παντὸς
εἶναι. ταῦτα δ' ὁ φιλόσοφος παρεγγυᾷ λόγος· ὁ δὲ μαθὼν
αὐτὰ καὶ ἀσκήσας ἐμοὶ μὲν δοκεῖ γενέσθαι ἂν κοσμιώ-
τατος, εἴτ' [αν] ἀνὴρ εἴη εἴτε γυνή. τί οὖν; ταῦτα

---

7 philosophiae haec finitio Stoicis sollemnis. testimonia exscribere longum est, cf. Wendland quaest. Mus. p. 12 adn. 2
8 Diog. Laert. II 21 9 Hom. δ 392 14 μὴ καλλ.] cf. Sext. Emp. math. XI 74 Κλεάνθης μὲν . . . τὸ κάλλυντρον κατὰ φύσιν μὴ εἶναι

---

1 ἀπὸ φιλοσοφίας Wachsmuth: τὸ φιλοσοφίας L; διὰ φιλοσοφίας Wyttenbach, τῷ φιλοσοφεῖν Meineke ‖ 2 περιγενόμενον L: corr. Meineke ‖ 3 τῶν ⟨τῷ⟩ οἴκῳ Nauck ‖ 5 μάλιστα· εἴ γε Wyttenbach: μάλιστ' αἰεί γε L ‖ 7 ἢ Wyttenbach: ἡ L | ἢ φιλοσοφία . ὁ φιλόσοφος γάρ, ὡς ἔλεγε Σωκράτης, κτἑ. coni. Halm l. c. ‖ 7 ὥσπερ ten Brink: ὡς γὰρ L ‖ 9 (Ὅ)τι L | μεγάροις L ‖ 16 πάθους παντός scripsit, non ἅπαντος, propter adsimilationem ut videtur ‖ 19 εἴτ' Wyttenbach: ἐπὰν L; εἴτ' ἂν Peerlkamp, εἴτ' ἄρ' Meineke | εἴη] τε ἢ (servato in prioribus ἐπὰν) Halm l. c.

μὲν ταύτῃ ἔχει· δικαία δ' οὐκ ἂν εἴη γυνὴ φιλοσοφοῦσα, οὐδ' ἄμεμπτος βίου κοινωνός, οὐδ' ὁμονοίας ἀγαθὴ συνεργός, οὐδ' ἀνδρός γε καὶ τέκνων ἐπιμελὴς κηδεμών, οὐδὲ φιλοκερδείας ἢ πλεονεξίας πάντῃ καθαρά; καὶ τίς ἂν μᾶλλον τῆς φιλοσόφου τοιαύτη γένοιτο, ἥν γε ἀνάγκη πᾶσα, εἴπερ εἴη τῷ ὄντι φιλόσοφος, τὸ μὲν ἀδικεῖν τοῦ ἀδικεῖσθαι χεῖρον νομίζειν, ὅσῳπερ αἴσχιον, τὸ δὲ ἐλαττοῦσθαι τοῦ πλεονεκτεῖν κρεῖττον ὑπολαμβάνειν, ἔτι δὲ καὶ τέκνα μᾶλλον ἀγαπᾶν ἢ τὸ ζῆν; τῆς δ' ἐχούσης οὕτω τίς ἂν εἴη γυνὴ δικαιοτέρα; καὶ μὴν καὶ ἀνδρειοτέραν εἶναι προσήκει γυναῖκα τῆς ἀπαιδεύτου τὴν πεπαιδευμένην καὶ τὴν φιλόσοφον τῆς ἰδιώτιδος· ὡς μήτε θανάτου φόβῳ μήτε ὄκνῳ τῷ πρὸς πόνον ὑπομεῖναί τι αἰσχρόν, μηδ' ὑποπτῆξαι μηδενὶ ὅτι εὐγενὴς ἢ ὅτι δυνατὸς ἢ ὅτι πλούσιος ἢ καὶ νὴ Δία ὅτι τύραννος. ὑπάρχει γὰρ αὐτῇ μεμελετηκέναι μέγα φρονεῖν, καὶ τὸν μὲν θάνατον ἡγεῖσθαι μὴ κακόν, τὴν δὲ ζωὴν μὴ ἀγαθόν· ὡσαύτως δὲ καὶ τὸν μὲν πόνον μὴ ἐκτρέπεσθαι, τὴν δὲ ἀπονίαν μὴ διώκειν ἐξ ἅπαντος. ὅθεν εἰκὸς εἶναι τὴν γυναῖκα ταύτην καὶ αὐτουργικὴν καὶ κακόπαθον, οἵαν ἃ μὲν ἂν τέκῃ τρέφειν μαστῷ τῷ ἑαυτῆς, τῷ δὲ ἀνδρὶ

---

2 s. *ἄμεμπτος* et *ἐπιμελής* Cleanthen redolere vix iure putat Dyroff *eth. der alten stoa* p. 312 memor eorum quibus ille *τὸ ἀγαθόν* definivit (Clem. Al. protr. VI p. 61 P.) 7 cf. Plat. Gorg. p. 509 C *μεῖζον μέν φαμεν κακὸν τὸ ἀδικεῖν, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι* Sen. ep. 95, 52 *miserius est nocere quam laedi* 14 s. cf. Musonius infra p. 15, 8 ss.

---

2 *οἰκονομίας* pro *ὁμονοίας* Meineke non recte, cf. Muson. infra p. 69, 7 s. ‖ 3 *οὐδὲ* L | *γε* om. vulg. ‖ 5 *φιλοσόφου* corr. ex *φιλοσοφίας* L ‖ 6 *τῷ ὄντι* Wachsmuth: *τὸ ἴσον* L | *φιλόσοφον* Wyttenbach ‖ 9 *ἔτι δὲ* scripsi: *τὸ δὲ* L ‖ 14 *αἰσχρόν* sed post *χ* littera deleta L ‖ 21 *τοιαύτην* ten Brink

ὑπηρετεῖν χερσὶ ταῖς ἑαυτῆς· ἃ δὲ δουλικὰ νομίζουσιν
ἔνιοι, ταῦτα ἀόκνως ποιεῖν. ἆρ' οὐκ ἂν ἡ τοιαύτη
γυνὴ μέγα μὲν ὄφελος εἴη τῷ γεγαμηκότι, κόσμος δὲ
τοῖς προσήκουσι γένει, παράδειγμα δὲ χρηστὸν ταῖς
5 ἐπισταμέναις αὐτήν; ἀλλὰ νὴ Δία, φασί τινες, ὅτι
αὐθάδεις ὡς ἐπὶ πολὺ καὶ θρασείας εἶναι ἀνάγκη τὰς
προσιούσας τοῖς φιλοσόφοις γυναῖκας, ὅταν ἀφέμεναι
τοῦ οἰκουρεῖν ἐν μέσοις ἀναστρέφωνται τοῖς ἀνδράσι
καὶ μελετῶσι λόγους καὶ σοφίζωνται καὶ ἀναλύωσι
10 συλλογισμούς, δέον οἴκοι καθημένας ταλασιουργεῖν.
ἐγὼ δὲ οὐχ ὅπως τὰς γυναῖκας τὰς φιλοσοφούσας ἀλλ' οὐδὲ
τοὺς ἄνδρας ἀξιώσαιμ' ἂν ἀφεμένους τῶν προσηκόντων
ἔργων εἶναι περὶ λόγους μόνον· ἀλλὰ καὶ ὅσους μεταχειρί-
ζονται λόγους, τῶν ἔργων φημὶ δεῖν ἕνεκα μεταχειρίζε-
15 σθαι αὐτούς. ὥσπερ γὰρ ἰατρικοῦ λόγου ὄφελος οὐδὲν
ἐὰν μὴ πρὸς ὑγίειαν φέρῃ σώματος ἀνθρωπίνου, οὕτως
οὐδ' εἴ τινα φιλόσοφος ἔχει ἢ διδάσκει λόγον, οὐδὲν
ὄφελος αὐτοῦ, ἐὰν μὴ φέρῃ πρὸς ἀρετὴν ψυχῆς ἀνθρω-
πίνης. πρὸ παντὸς δὲ σκοπεῖν τὸν λόγον χρή, ᾧ ἕπε-
20 σθαι τὰς φιλοσοφούσας ἀξιοῦμεν, εἰ δύναται θρασείας
ποιεῖν ὁ τὴν αἰδῶ μέγιστον ἀποφαίνων ἀγαθόν· εἰ ζῆν
ἰταμώτερον ἐθίζει ὁ καταστολὴν πλείστην ὑφηγού-
μενος· εἰ μὴ διδάσκει σωφρονεῖν ὁ κακὸν ἀποδεικνὺς
ἔσχατον τὴν ἀκολασίαν· εἰ μὴ προτρέπει οἰκονομεῖν

---

15 cf. Musonius infra p. 20, 6 ss.

---

3 κόσμος est in L; 'quod autem Wyttenbachius putat post προσήκουσι aliquid excidisse, certe fallitur; nam οἱ προσήκοντες γένει sunt propinqui' Halm lect. Stob. p. 10 ‖ 13 περὶ Meineke: πρὸς L ‖ 15 ὤφελος L ‖ 16 ἀνθρωπίνου Meineke: ἀνου L ‖ 18 post ἀνθρωπίνης clausula in L ‖ 21 ὁ τὴν est in L | εἰ ζῆν Wyttenbach: τί ζῆν L

ὁ παριστὰς ἀρετὴν εἶναι τὴν οἰκονομικήν. καὶ στέργειν δὲ . . . καὶ αὐτουργεῖν ὁ τῶν φιλοσόφων λόγος παρακαλεῖ τὴν γυναῖκα.

IV.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ 5

ΕΙ ΠΑΡΑΠΛΗΣΙΩΣ ΠΑΙΔΕΥΤΕΟΝ ΤΑΣ ΘΥΓΑΤΕΡΑΣ ΤΟΙΣ ΥΙΟΙΣ.

Λόγου δέ ποτέ τινος ἐμπεσόντος, εἰ τὴν αὐτὴν παιδείαν παιδευτέον τοὺς υἱέας καὶ τὰς θυγατέρας, ἵππους μέν, ἔφη, καὶ κύνας ὁμοῦ οὐδὲν διαφερόντως 10 *παιδεύουσιν οἵ τε ἱππικοὶ καὶ οἱ κυνηγετικοὶ τοὺς ἄρρενας τῶν θηλειῶν· ἀλλ' αἵ τε κύνες αἱ θήλειαι παραπλησίως τοῖς ἄρρεσι διδάσκονται θηρᾶν· ἵππους τε θηλείας ἄν τις θέλῃ τὰ ἵππων ἔργα ἀποτελεῖν καλῶς, οὐ διάφορον τῶν ἀρρένων διδασκαλίαν διδα-* 15 *σκομένας ἰδεῖν ἔστιν· ἀνθρώπους δὲ τοὺς ἄρρενας ἐξαίρετόν τι ἄρα δεήσει ἔχειν ἐν τῇ παιδείᾳ καὶ τροφῇ*

---

4 Plutarchi libri *Ὅτι καὶ γυναῖκα παιδευτέον* aliquot fragmenta servavit Stobaeus. Clementis Al. paedagogi I c. 4 inscribitur *Ὅτι ἐπ' ἴσης ἀνδρῶν τε καὶ γυναικῶν ὁ λόγος παιδαγωγός ἐστιν.* Comparandus est Hierocles Stobaei flor. 85, 21 M. 8 ss. cf. Plato de rep. V p. 451 D

---

1 post *στέργειν δὲ* suppleri voluit *τὸν πόνον* aut simile Iacobs lect. Stob. p. 152, *τοῖς παροῦσιν* Vsener ‖ 2 *ὁ τῶν φιλοσόφων λόγος* delet Iacobs l. c. sed vide ne male rem administrarit excerptor ‖ 4 Stob. II 31, 123 p. 235 W.: ecl. cum lemm hab. L ‖ 8 *εἰ* Wyttenbach: *ἐπὶ* L ‖ 14 *θέλω* L: corr. Wyttenbach

παρὰ τὰς θηλείας, ὥσπερ οὐχὶ τὰς αὐτὰς παραγίνεσθαι δέον ἀρετὰς ἀμφοῖν ὁμοίως ἀνδρὶ καὶ γυναικί, ἢ ἐπὶ τὰς αὐτὰς ἀρετὰς μὴ διὰ τῶν αὐτῶν παιδευμάτων ἀλλὰ δι' ἑτέρων οἷόν τε ὂν ἐλθεῖν. ὅτι δὲ
5 οὐκ ἄλλαι ἀρεταὶ ἀνδρός, ἄλλαι δὲ γυναικός, ῥᾴδιον μαθεῖν. αὐτίκα, φρονεῖν δεῖ μὲν τὸν ἄνδρα, δεῖ δὲ καὶ τὴν γυναῖκα· ἢ τί ὄφελος εἴη ἂν ἄφρονος ἀνδρὸς ἢ γυναικός; εἶτα ⟨δεῖ⟩ δικαίως βιοῦν οὐδέτερον ἧττον θατέρου· ἀλλ' ὅ τε ἀνὴρ οὐκ ἂν εἴη πολίτης ἀγαθὸς
10 ἄδικος ὤν, ἥ τε γυνὴ οὐκ ἂν οἰκονομοίη χρηστῶς, εἰ μὴ δικαίως· ἀλλ' ἄδικος οὖσα περὶ αὐτὸν ἀδικήσει τὸν ἄνδρα, ὥσπερ τὴν Ἐριφύλην φασί. σωφρονεῖν μὲν αὖ καλὸν τὴν γυναῖκα, καλὸν δ' ὁμοίως καὶ τὸν ἄνδρα· τὸ γοῦν μοιχεύειν τῷ μοιχεύεσθαι ἐπ' ἴσης
15 κολάζουσιν οἱ νόμοι. καὶ λιχνεῖαι καὶ οἰνοφλυγίαι καὶ ἄλλα παραπλήσια κακά, ἀκολαστήματα ὄντα καὶ

---

4 ὅτι ἡ γυναικεία φύσις οὐδὲν χείρων τῆς τοῦ ἀνδρὸς οὖσα τυγχάνει, γνώμης δὲ καὶ ἰσχύος δεῖται Socratis sententia est Xenophontei symp. 2, 9, ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή Antisthenis Diog. Laert. VI 12. περὶ τοῦ Ὅτι ἡ αὐτὴ ἀρετὴ ἀνδρὸς καὶ γυναικός disserebat Cleanthes (Diog. L. VII 175; cf. Pearson p. 53), quo usum esse Musonium et ita quidem, ut etiam ea quae cum Platone consentiunt ex illo repeteret, comprobare studet Dyroff *ethik der alten stoa* p. 312 s. Clem. Al. l. c. p. 103 P. τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς καὶ γυναικὸς εἶναι.
12 Eriphyles commonent Arr. Epict. II 22, 32 Clemens Alex. paed. II p. 236 P. Ps.-Luc. Cyn. c. 8, una cum Clytaemestra aliisque Seneca de matrim. fr. 66 Haase Iuven. VI 655
12 s. cf. Clemens Alex. strom. IV p. 590 s. P.

---

4 ὂν Wyttenbach: οὖν L ‖ **8** δεῖ addidit Wachsmuth ‖ **10 s.** ἡ μὴ δίκαιος ἀλλ' ἄδικος L: correxi et distinxi. ἢ μὴ δίκαιος ἀλλ' ἄδικος non recte Iacobs aliique, δικαία enim pro feminino Lucius ut p. 11, 1 vel 73, 14, non δίκαιος ‖ **11** περὶ αὐτὸν scripsi: πρῶτον L. hoc servato aliquid interceptum putarat Wyttenbach post φασί, ubi inepte supplet ἔπειτα καὶ τοὺς ἄλλους Peerlkamp

καταισχύνοντα μεγάλως τοὺς ἐνεχομένους αὐτοῖς, ἀποφαίνει τὴν σωφροσύνην ἀναγκαιοτάτην οὖσαν ἀνθρώπῳ παντί, τῷ τε θήλει καὶ τῷ ἄρρενι· διὰ γὰρ σωφροσύνης μόνης ἐκφεύγομεν ἀκολασίαν, ἄλλως δ' οὐδαμῶς. τὴν ἀνδρείαν φαίη τις ἂν ἴσως μόνοις προσήκειν τοῖς ἀνδρά- 5
σιν. ἔχει δὲ οὐδὲ τοῦτο ταύτῃ. δεῖ γὰρ ἀνδρίζεσθαι καὶ τὴν γυναῖκα ⟨καὶ⟩ καθαρεύειν δειλίας τήν γε ἀρίστην, ὡς μήθ' ὑπὸ πόνου μήθ' ὑπὸ φόβου κάμπτεσθαι· εἰ δὲ μή, πῶς ἔτι σωφρονήσει, ἐάν τις ἢ φοβῶν ἢ προσάγων πόνους βιάσασθαι δύνηται αὐτὴν ὑπομεῖναί ⟨τι⟩ 10
τῶν αἰσχρῶν. δεῖ δὲ δὴ καὶ ἀμυντικῶς ἔχειν τὰς γυναῖκας, εἰ μὴ νὴ Δία φαίνεσθαι μέλλουσι κακίους ἀλεκτορίδων καὶ ἄλλων ὀρνίθων θηλειῶν, αἳ πολὺ μείζοσι ζῴοις ἑαυτῶν ὑπὲρ τῶν νεοττῶν διαμάχονται. πῶς οὖν οὐκ ἂν ἀνδρείας αἱ γυναῖκες δέοιντο; ὅτι δὲ 15
καὶ ἀλκῆς τῆς δι' ὅπλων μέτεστιν αὐταῖς, ἐδήλωσε τὸ Ἀμαζόνων γένος ἔθνη πολλὰ δι' ὅπλων καταστρεψάμενον· ὥστ' εἴ τι ἐνδεῖ πρὸς τοῦτο ταῖς ἄλλαις γυναιξίν, ἀνασκησία μᾶλλον ἢ τὸ μὴ πεφυκέναι . . . ἀρετὰς

---

12 ss. vide Muson. p. 30, 12 ss. cf. Plat. symp. p. 207 B de leg. VII p. 814 B 15 ss. cf. Plato de leg. VII p. 804 D ss. 806 A

---

5 *ἀνδρείαν* corr. in *ἀνδρίαν* L ‖ 6 *ταυτί* L: corr. Gaisford ‖ 7 *καὶ* ante *καθ.* addidit Wyttenbach ‖ 8 *κάμπτηται* L: corr. Vsener, cf. supra p. 11, 13 ‖ 9 *σωφρονήσει, ἐάν* Meineke: *σωφρονήσειεν ἂν* L; *σωφρονήσειεν ἄν, ἂν* Halm lect. Stob. p. 8 ‖ 10 *τι* addidit Wyttenbach ‖ 11 *ἀμυντικῶς* Wyttenbach: *ἀμυντικὸν* L ‖ 14 *νεοττῶν* L: *νέον* vulg. | *διαμάχονται* Wyttenbach: *διαλλάττονται* L ‖ 15 *ἂν ἀνδρίας* L, moneo propter Halmium, qui ⟨*ἂν*⟩ *ἀνδρείας* scribi iussit lect. Stob. p. 8 ‖ 16 *ἀλκῆς τῆς* Vsener: *ἀλκή τις* L ‖ 19 *ἀνασκησία κτέ.*] mancam esse orationem vidit Wyttenbach: *ἢ τὸ μὴ πεφυκέναι ⟨πρὸς ἀνδρίαν αἰτιατέα ἂν εἴη. εἰ μὲν οὖν ὁμοίας εἶναι δεῖ τὰς⟩ ἀρετὰς* prop. Meineke, *ἢ τὸ μὴ πεφυκέναι ⟨πρὸς ἀνδρείαν αἰτία ἂν εἴη. εἰ μὲν οὖν τὰς αὐτὰς εἶναι πέφυκεν⟩ ἀρετὰς* scr. Wachsmuth

ἀνδρὸς καὶ γυναικός, ἀνάγκη πᾶσα καὶ τροφὴν καὶ
παιδείαν τὴν αὐτὴν προσήκειν ἀμφοῖν. παντὶ γὰρ δὴ
ζῴῳ καὶ φυτῷ τὴν ἐπιμέλειαν τὴν προσαγομένην ὀρθῶς
ἐμποιεῖν χρὴ τὴν ἐκείνῳ προσήκουσαν ἀρετήν. ἢ εἰ
5 μὲν ἔδει αὐλεῖν δύνασθαι παραπλησίως ἄνδρα καὶ
γυναῖκα, καὶ εἰ τοῦθ' ἑκατέρῳ αὐτοῖν ἀναγκαῖον ἦν
πρὸς τὸν βίον, ἀμφοτέρους ἂν ἐπ' ἴσον τὴν αὐλητικὴν
τέχνην ἐξεδιδάσκομεν, καὶ εἰ κιθαρίζειν ἔδει ἑκάτε-
ρον, . . . · ἀμφοτέρους δὲ εἰ δεῖ γενέσθαι ἀγαθοὺς τὴν
10 ἀνθρώπῳ προσήκουσαν ἀρετὴν καὶ φρονεῖν ὁμοίως
δύνασθαι καὶ σωφρονεῖν καὶ ἀνδρείας μετέχειν καὶ δι-
καιοσύνης μηδὲν ἧττον θατέρου θάτερον, οὐκ ἄρ'
ὁμοίως ἑκάτερον παιδεύσομεν οὐδὲ τὴν τέχνην, ἀφ'
ἧς γένοιτ' ἂν ἄνθρωπος ἀγαθός, ἐπ' ἴσον ἀμφοτέρους
15 διδάξομεν; ἀλλὰ χρὴ οὕτω ποιεῖν καὶ οὐχ ἑτέρως. 'τί
οὖν; καὶ ταλασίαν' φησί τις ἴσως 'ἀξιοῖς σὺ παρα-
πλησίως ἐκμανθάνειν ταῖς γυναιξὶν τοὺς ἄνδρας καὶ
γυμναστικὴν μετέρχεσθαι τοῖς ἀνδράσιν ὁμοίως τὰς
γυναῖκας;' τοῦτο μὲν οὐκέτι ἀξιώσω ἐγώ· φημὶ δὲ ὅτι
20 οὔσης ἐν τῷ γένει ⟨τῷ⟩ ἀνθρωπίνῳ τῆς μὲν ἰσχυρο-
τέρας φύσεως τῆς τῶν ἀρρένων, τῆς δ' ἀσθενεστέρας

---

9 cf. Plat. Men. p. 73 B *τῶν αὐτῶν ἄρα ἀμφότεροι δέονται, εἴπερ μέλλουσιν ἀγαθοὶ εἶναι, καὶ ἡ γυνὴ καὶ ὁ ἀνήρ, δικαιοσύνης καὶ σωφροσύνης* **20 s.** *ἰσχυροτέρας — ἀσθενεστέρας*] cf. Plat. de re p. V p. 451 E

---

4 *ἐκείνων* L: corr. Wyttenbach ‖ **8** post *ἑκάτερον* lacunam indicavit Wachsmuth ‖ **9** *εἰ δεῖ* ex *ἤδη* L ‖ **11** *ἀνδρίας* L ‖ **12** *θατέρου θάτερον* soloecismum nemo tollet. quamquam quod ex Dione Chrys. adferebant exemplum, velut Cobet Coll. crit. p. 56 alii, id non iterare debuit Crönert mem. gr. Hercul. p. 196, 2 | *οὐκ ἄρ'* (*οὐκ ἄρ'* Wyttenbach) *ὁμοίως* Usener: *οὐ γὰρ ὁμοίως* L; *οὐ παρομοίως* Meineke ‖ **16** *φήσει* Meineke ‖ **20** *τῷ* post *γένει* addidit Wyttenbach; *ἀνθρωπίνῳ γένει* coni. Nauck

τῆς τῶν θηλειῶν, ἑκατέρᾳ φύσει τῶν ἔργων ἀπονεμητέον τὰ προσφορώτατα, καὶ τὰ μὲν βαρύτερα τοῖς ἰσχυροτέροις ἀποδοτέον, τὰ δὲ ἐλαφρότερα τοῖς ἀσθενεστέροις· διὰ τοῦτο ταλασία μὲν ταῖς γυναιξὶ μᾶλλον πρέποι ἂν ἤπερ ἀνδράσιν, ὥσπερ ⟨καὶ⟩ οἰκουρία· 5 γυμναστικὴ δὲ ἀνδράσι μᾶλλον ἢ γυναιξίν, ὥσπερ καὶ θυραυλία· ἐνίοτε μέντοι καὶ ἄνδρες τινὲς τῶν ἐλαφροτέρων ἔργων ἔνια καὶ δοκούντων γυναικείων μεταχειρίσαιντ' ἂν εἰκότως, καὶ γυναῖκες αὖ τῶν σκληροτέρων καὶ δοκούντων μᾶλλον προσήκειν ἀνδράσιν 10 ἐργάσαιντ' ἄν, ὅταν ἢ τὰ τοῦ σώματος οὕτως ὑφηγῆται ἢ τὰ τῆς χρείας ἢ τὰ τοῦ καιροῦ. πάντα μὲν γὰρ ἴσως ἐν κοινῷ κεῖται τὰ ἀνθρώπεια ἔργα καὶ ἔστι κοινὰ ἀνδρῶν καὶ γυναικῶν, καὶ οὐδὲν ἀποτακτὸν ἐξ ἀνάγκης τῷ ἑτέρῳ· ἔνια δὲ δὴ ἐπιτηδειότερα τὰ μὲν 15 τῇδε τῇ φύσει, τὰ δὲ τῇδε· δι' ὃ τὰ μὲν ἀνδρεῖα καλεῖται, τὰ δὲ γυναικεῖα· ὅσα μέντοι τὴν ἀναφορὰν ἔχει εἰς ἀρετήν, ταῦτα φαίη τις ἂν ὀρθῶς ἐπ' ἴσον ἑκατέρᾳ προσήκειν φύσει, εἴ γε καὶ τὰς ἀρετὰς προσήκειν φαμὲν οὐδὲν τοῖς ἑτέροις μᾶλλον ἢ τοῖς ἑτέροις. 20 ὅθεν εἰκότως οἶμαι καὶ παιδευτέον ὅσα πρὸς ἀρετὴν παραπλησίως τό τε θῆλυ καὶ τὸ ἄρρεν· καὶ ἀρξαμένους ἀπὸ νηπίων εὐθὺς διδακτέον, ὅτι τοῦτο μὲν ἀγαθόν,

---

4 ss. cf. Clem. Alex. paed. III 49 p. 283 P. 15 ss. cf. Phintyis Pythagoreae quae leguntur Stob. flor. 74, 61 vol. III p. 63, 14 ss. M.

---

5 καὶ addidit Meineke ‖ 7 ἐνίοτε Vsener: εἶναι δ' ὅτε L ‖ 13 καὶ ἔστι — γυναικῶν seclusit Wachsmuth ‖ 15 μὴ δὴ δὲ L corrupte: πλὴν δὲ Halm lect. Stob. p. 9 ἔνια δὲ δὴ scr. Wachsmuth ‖ 16 δι' ὃ Vsener: δι' ἃ L | ἀνδρῷα L: corr. Meineke ‖ 19 εἴγε Wyttenbach: εἴτε L ‖ 20 ἢ Wyttenbach: καὶ L

*τοῦτο δὲ κακὸν † κακὸν ταὐτὸν ἀμφοῖν, καὶ τοῦτο μὲν
ὠφέλιμον, τοῦτο δὲ βλαβερόν, καὶ τόδε μὲν πρακτέον,
τόδε δὲ οὔ· ἐξ ὧν περιγίνεται φρόνησις τοῖς μανθά-
νουσιν ὁμοίως κόραις καὶ κόροις, καὶ οὐδὲν διαφορώ-
5 τερον τοῖς ἑτέροις· εἶτα δὲ ἐμποιητέον αἰδῶ πρὸς ἅπαν
αἰσχρόν· ὧν ἐγγενομένων ἀνάγκη σώφρονας εἶναι καὶ
ἄνδρα καὶ γυναῖκα. καὶ μὴν τὸν παιδευόμενον ὀρθῶς,
ὅστις ἂν ᾖ, εἴτε ἄρρην εἴτε θήλεια, ἐθιστέον μὲν ἀνέ-
χεσθαι πόνου, ἐθιστέον δὲ μὴ φοβεῖσθαι θάνατον,
10 ἐθιστέον δὲ μὴ ταπεινοῦσθαι πρὸς συμφορὰν μηδε-
μίαν· δι' ὅσων ἄν τις εἴη ἀνδρεῖος. ἀνδρείας δὲ μικρῷ
πρότερον ἐδείχθη δεῖν μετεῖναι καὶ γυναιξίν. ἔτι
τοίνυν πλεονεξίαν μὲν φεύγειν, ἰσότητα δὲ τιμᾶν, καὶ
εὐποιεῖν μὲν θέλειν, κακοποιεῖν δὲ μὴ θέλειν ἄνθρω-
15 πον ὄντα ἀνθρώπους, ἔστι μὲν δίδαγμα κάλλιστον καὶ
δικαίους ἐπιτελεῖ τοὺς μανθάνοντας· τί δὲ μᾶλλον ἄνδρα
μεμαθηκέναι χρὴ ταῦτα; εἰ γὰρ νὴ Δία πρέπει δικαίας
εἶναι γυναῖκας, καὶ ταὐτὰ δεῖ μεμαθηκέναι ἄμφω τά
γε κυριώτατα καὶ μέγιστα. εἰ γάρ τί που καὶ μικρὸν*

---

2 Diog. Laert. VII 98 *πᾶν δὲ ἀγαθὸν συμφέρον εἶναι καὶ δέον καὶ λυσιτελὲς καὶ χρήσιμον καὶ εὔχρηστον καὶ καλὸν καὶ ὠφέλιμον κτἑ.* 7 ss. cf. Seneca dial. VI 16, 1 *dolorem laboremque ex aequo, si consuevere, patiuntur* (sc. *mulieres*)

---

1 v. *κακὸν ταὐτὸν ἀμφοῖν* tamquam glossematis olim uberioris (⟨*ἀγαθὸν καὶ*⟩ *κακὸν τ. ἀ.*) partem relictam delevit Wachsmuth. fort. *κατὰ ταὐτὸν ἀμφοῖν* vel *ἑκάτερον ταὐτὸν ἀμφοῖν* ‖ 3 *ἐπιγίνεται* L: corr. Meineke ‖ 4 *κούροις* L: corr. Meineke ‖ 5 *αἰδῶ* Wyttenbach: *δίδω̇* et lac. 2 litt. L ‖ 6 *ὧν ἐγγ.* spectare ad *αἰδῶ* et *φρόνησιν* monuit Iacobs lect. Stob. p. 151 ‖ 11 *ἀνδρίας*, sed primo *ἀνδρείας* L ‖ 15 malim *καὶ* ⟨*ὃ*⟩ *δικαίους* ‖ 16 *ἀποτελεῖ* Wyttenbach ‖ 17 *εἰ γὰρ* Wyttenbach: *ἤπερ* L; *εἴπερ* ten Brink ‖ 18 *ταὐτὰ* Wachsmuth: *ταῦτα* L ‖ 19 *καιριώτατα* L; corr. Peerlkamp p. 394

ὁ μὲν εἴσεται, ἡ δὲ οὔ, ἢ ἀνάπαλιν ἡ μὲν εἴσεται, ὁ δὲ οὔ, τεχνίτου τινὸς ἐχόμενον, οὔπω τοῦτο διάφορον ἀποφαίνει τὴν ἑκατέρου παιδείαν· μόνον περὶ μηδενὸς τῶν μεγίστων ἕτερος ἕτερα μεμαθηκέτω, ἀλλὰ ταὐτά. ἂν δέ τις ἐρωτᾷ με, τίς ἐπιστήμη τῆς παιδείας ταύ- 5 της ἐπιστατεῖ, λέξω πρὸς αὐτὸν ὅτι φιλοσοφίας ἄνευ ὥσπερ ἀνὴρ οὐκ ἂν οὐδείς, οὕτως οὐδ' ἂν γυνὴ παιδευθείη ὀρθῶς. καὶ οὐ τοῦτο βούλομαι λέγειν, ὅτι τρανότητα περὶ λόγους καὶ δεινότητά τινα περιττὴν χρὴ προσεῖναι ταῖς γυναιξίν, εἴπερ φιλοσοφήσουσιν 10 ὡς γυναῖκες· οὐδὲ γὰρ ἐπ' ἀνδρῶν ἐγὼ πάνυ τι τοῦτο ἐπαινῶ· ἀλλ' ὅτι ἤθους χρηστότητα καὶ καλοκἀγαθίαν τρόπου κτητέον ταῖς γυναιξίν· ἐπειδὴ καὶ φιλοσοφία καλοκἀγαθίας ἐστὶν ἐπιτήδευσις καὶ οὐδὲν ἕτερον.

V.

ΛΥΚΙΟΥ 15

ΕΚ ΤΩΝ

ΜΟΥΣΩΝΙΟΥ ΠΟΤΕΡΟΝ ΙΣΧΥΡΟΤΕΡΟΝ ΕΘΟΣ Η ΛΟΓΟΣ.

Αὖθις ἐνέπεσεν ἡμῖν ζήτησις πότερον ἀνυσιμώτερον

---

8 ss. cf. Eur. Med. 1081 ss. Theophrastus Stob. II 31, 31 p. 207, 11 ss. W. 13 cf. Musonius infra p. 38, 15 *τὸ φιλοσοφεῖν καλοκἀγαθίας ἐπιτήδευσίς ἐστιν*

---

2 *τεχνίτου* sed *ί* ex *ή* L; *τεχνίου* Meineke *τεχνικοῦ* Eldike | *οὔπω* L: *οὐ* vulg. ‖ 4 *ταὐτά* ten Brink: *ταῦτα* L; *τὰ αὐτά* Wyttenbach, *ἄμφω ταὐτά* Meineke ‖ 8 *καίτοι οὐ* Meineke ‖ 10 *εἴπερ φιλοσοφήσουσιν ὡς γυναῖκες* scripsi: *εἴπερ φιλοσοφήσουσι καὶ γυναῖκες* L. *ἤπερ φιλοσοφήσουσιν αἱ γυναῖκες* Vsener ‖ 15 Stob. II 15, 46 p. 193, 3 W.: ecl. cum lemm. hab. L. *Λουκίου* ex primo Stobaei libro adfert pinacographus Photii p. 46 Elt. ‖ 18 *ἐνέπεσεν ἡμῖν* Wyttenbach: *ἐνέπεσε μὲν* L

πρὸς κτῆσιν ἀρετῆς ἔθος ἢ λόγος ⟨εἴη⟩, εἰ ὁ μὲν λόγος
διδάσκοι ὀρθῶς τί εἴη ποιητέον, τὸ δὲ ἔθος γίνοιτο
κατὰ τοιοῦτον λόγον πράττειν ἐθιζομένων. τῷ δὲ Μου-
σωνίῳ τὸ ἔθος ἐδόκει εἶναι ἀνυσιμώτερον, καὶ συνηγο-
5 ρῶν τῇ ἑαυτοῦ δόξῃ ἤρετο τῶν παρόντων τινὰ οὕτως·
Δυοῖν ὄντοιν ἰατροῖν, τοῦ μὲν ἱκανοῦ λέγειν καὶ περὶ
τῶν ἰατρικῶν ὡς ὅτι ἐμπειρότατα, περὶ δὲ θεραπείαν
τῶν καμνόντων μηδὲν τετριμμένου, τοῦ δ' εἰπεῖν μὲν
ἀδυνάτου, θεραπεύειν δ' εἰθισμένου κατὰ τὸν λόγον
10 τὸν ἰατρικόν, πότερον, ἔφη, μᾶλλον ἕλοιο ἂν παρεῖναί σοι
νοσοῦντι; Ὁ δὲ ἀπεκρίνατο, ⟨ὅτι⟩ τὸν θεραπεύειν εἰθι-
σμένον. Καὶ ὁ Μουσώνιος· Τί δέ; δυοῖν ἀνδροῖν τοῦ
μὲν πεπλευκότος πολλάκις καὶ κυβερνήσαντος ἤδη πλοῖα
ἱκανά, τοῦ δὲ ὀλιγάκις μὲν πεπλευκότος, κυβερνήσαντος
15 δὲ μηδέποτε· ἐὰν οὗτος ὁ μὴ κυβερνήσας ἱκανώτατα
λέγῃ ὃν τρόπον χρὴ κυβερνᾶν, ὁ δ' ἕτερος ἐνδεῶς
καὶ παντάπασιν ἀσθενῶς, ποτέρῳ ἂν πλέων χρήσαιο

---

6 cf. Musonius supra p. 12, 15 ἰατρικοῦ λόγου ὄφελος οὐδέν, ἐὰν μὴ πρὸς ὑγίειαν φέρῃ σώματος ἀνθρωπίνου. Seneca epist. 75, 6 *non quaerit aeger medicum eloquentem, sed si ita competit, ut idem ille, qui sanare potest, compte de iis, quae facienda sunt, disserat, boni consulet. non tamen erit, quare gratuletur sibi, quod inciderit in medicum etiam disertum. hoc enim tale est, quale si peritus gubernator etiam formosus est.* Arr. Epict. diss. III 21, 4. 23, 31

---

1 εἴη addidit Vsener ‖ 2 διδάσκει L: corr. Wyttenbach | γένοιτο Sarti ‖ 3 πράττει L ‖ 4 συνήγορον L: corr. Vsener ‖ 5 τινα· οὕτως δυοῖν L: distinxit Wyttenbach ‖ 7 ὡς Peerlkamp p. 384: ὧσσ L, ubi ὦρα legerat Sarti, ut in errorem abducerentur haud pauci, velut ὁρίσαι coniciens vel γνῶναι Halm lect. Stob. p. 8, θεωρεῖν Meineke, alii alia | ἐμπειρότατα Peerlkamp: ἐμπειρότατ L; ἐμπειρότατον vulgo ‖ 8 μηδὲν Halm l. c.: μὴ δὲ L ‖ 9 θεραπεύσειν L ‖ 11 addidi omissum ὅτι ante τὸν ‖ 12 δύο ἀνδρῶν L: corr. Meineke ‖ 15 ἱκανώτατον L: corr. Wyttenbach ‖ 16 λέγει L: corr. Halm l. c. ‖ 17 πλέω L: πλέων Meineke | χρήσαιο ut videtur, quamquam evanidum L

κυβερνήτῃ; Καὶ ὃς εἶπεν, ὅτι τῷ κυβερνήσαντι πολλάκις. Πάλιν ὁ Μουσώνιος· Μουσικοῖν δὲ δυοῖν, τοῦ μὲν τοὺς λόγους ἐπισταμένου τοὺς μουσικοὺς καὶ λέγοντος αὐτοὺς πιθανώτατα, ᾄδειν δὲ ἢ κιθαρίζειν ἢ λυρίζειν ἀδυνατοῦντος, τοῦ δὲ περὶ μὲν τοὺς λόγους 5 ὄντος ἥττονος, κιθαρίζοντος δὲ καλῶς καὶ λυρίζοντος, ἔτι δὲ ᾄδοντος· ποτέρῳ ἂν ἐπιτρέψαις ἔργον μουσικόν, ἢ πότερον ἂν ἐθέλοις γενέσθαι διδάσκαλον τῶν μουσικῶν παιδὸς οὐκ εἰδότος; Ὁ δὲ ἀπεκρίνατο, ὅτι τὸν ἐν τοῖς ⟨ἔργοις⟩ ἱκανόν. Τί οὖν, εἶπεν ὁ Μου- 10 σώνιος, ταῦτα μὲν ταύτῃ ἔχει· περὶ δὲ σωφροσύνης ἢ ἐγκρατείας τοῦ ἃ χρὴ δύνασθαι λέγειν οὐ πολὺ κρεῖττον τὸ ἐγκρατῆ γενέσθαι καὶ σώφρονα περὶ τὰ πραττόμενα πάντα; Συνεχώρει κἀνταῦθα ὁ νεανίσκος, ἧττον καὶ φαυλότερον εἶναι τοῦ σωφρονεῖν ἔργῳ τὸ λέγειν 15 περὶ σωφροσύνης ἱκανῶς. Ὅθεν ὁ Μουσώνιος συνάπτων τοῖς προειρημένοις, πῶς οὖν ἐπὶ τούτοις, ἔφη, τὸ τὸν ἑκάστου λόγον ἐπίστασθαι πράγματος κρεῖττον ἂν εἴη τοῦ ἐθίζεσθαι καὶ πράττειν τὰ πράγματα κατὰ τὴν ὑφήγησιν τοῦ λόγου; ἐπείπερ τὸ μὲν ἔθος πρὸς 20 τὸ δύνασθαι πράττειν ἄγει, τὸ δ' ἐπίστασθαι λόγον τοῦ πράγματος πρὸς τὸ δύνασθαι λέγειν. συνεργεῖ μὲν γὰρ καὶ τῇ πράξει ὁ λόγος διδάσκων ὅπως πρακτέον καὶ ἔστι τῇ τάξει πρότερος τοῦ ἔθους· οὐ γὰρ ἐθισθῆναί τι καλὸν οἷόν τε μὴ κατὰ λόγον ἐθιζόμενον· 25

---

25 ss. Demosth. Ol. III 15 et libri περὶ ὕψους initium memorat Wyttenbach

---

4 πιθανώτατον L: corr. Peerlkamp p. 385 | ἢ κιθαρίζειν ἢ λυρ. L: καὶ κιθαρίζειν καὶ λυρ. vulg. ‖ 7 ἐπιτρέψαι L: corr. Wyttenbach; an ἐπιτρέψειας? ‖ 9 οὐκ εἰδότος Wyttenbach: οὐκ εἴδοι L; οὐ κήδῃ Iacobs lect. Stob. p. 21 ‖ 10 ἔργοις addidit Wyttenbach: om. L initio fol. 101r ‖ 14 συνεχάρει L

δυνάμει μέντοι τὸ ἔθος προτερεῖ τοῦ λόγου, ὅτι ἐστὶ κυριώτερον ἐπὶ τὰς πράξεις ἄγειν τὸν ἄνθρωπον ἤπερ ὁ λόγος.

VI.

ΜΟΥΣΩΝΙΟΥ

5 ## ΠΕΡΙ ΑΣΚΗΣΕΩΣ.

Παρώρμα δὲ πρὸς ἄσκησιν τοὺς συνόντας ἐντεταμένως ἀεὶ τοιοῖσδέ τισι λόγοις χρώμενος. Ἡ ἀρετή, ἔφη, ἐπιστήμη ἐστὶν οὐ θεωρητικὴ μόνον, ἀλλὰ καὶ πρακτικὴ καθάπερ ἥ τε ἰατρικὴ καὶ ἡ μουσική. δεῖ οὖν 10 *ὥσπερ τὸν ἰατρὸν καὶ τὸν μουσικὸν μὴ μόνον ἀνειληφέναι τὰ θεωρήματα τῆς αὑτοῦ τέχνης ἑκάτερον, ἀλλὰ καὶ γεγυμνάσθαι πράττειν κατὰ τὰ θεωρήματα, οὕτω*

---

5 *Περὶ ἀσκήσεως* scripserunt Herillus (cf. Diog. Laert. VII 166) Dionysius (D. L. VII 167). videatur etiam Diogenes ap. Laertium VI 70 s. **6** cf. Plut. plac. I prooem. Arr. Epict. diss. II 9, 13 **7** Philo Leg. Alleg. I 856 vol. I p. 75 Wendl. Sen. ep. 94, 45 cf. Clem. Alex. paed. I 9 p. 103 P. **9** cf. Cicero de off. I 18, 60 *ut nec medici nec imperatores nec oratores, quamvis artis praecepta perceperint, quicquam magna laude dignum sine usu et exercitatione consequi possunt, sic officii conservandi praecepta traduntur illa quidem . . ., sed rei magnitudo usum quoque exercitationemque desiderat* **12** ss. cf. Sen. ep. 90, 46 *virtus non contingit animo nisi instituto et edocto et ad summum adsidua exercitatione perducto*

---

4 Stobaeus III 29, 78 H. ecl. cum lemm. habent SMA, praemisso lemm. *τοῦ αὐτοῦ*: Br. malueris *Μουσωνίου* ⟨*ἐκ τοῦ*⟩ *Π. ἀσκ.* collatis Musonianis lemmatis reliquis ‖ **6** *ἐντεταλμένως* S ‖ **9** v. *καθάπερ ἥ τε ἰατρικὴ* cum omisisset A^1, v. *καὶ ἡ μουσική* induxit A^2 et in marg. scripsit *καθάπερ ἥ τε ἰατρικὴ καὶ μουσική* (sic), sed fortasse diversa est manus quae supplementum marg. scripsit ab ea quae delevit v. *καὶ ἡ μουσική* ‖ **11** *αὐτοῦ* libri: tacite corr. Meineke ‖ **12** *καὶ τὰ* SMABr: *κατὰ τὰ* ex *καὶ τὰ* fecit A^2, sicut ci. Gesn.^{1} p. 200 mrg.

καὶ τὸν ἐσόμενον ἀγαθὸν ἄνδρα μὴ μόνον ἐκμανθάνειν
ὅσα μαθήματα φέρει πρὸς ἀρετήν, ἀλλὰ καὶ γυμνά-
ζεσθαι κατὰ ταῦτα φιλοτίμως καὶ φιλοπόνως. ἐπεὶ
πῶς μὲν ἂν εὐθὺς γένοιτό τις σώφρων, εἰ μόνον εἰδείη
ὅτι οὐ χρὴ ἡττᾶσθαι ἡδονῶν, ἀγύμναστος δ' εἴη ἀντ- 5
έχειν ταῖς ἡδοναῖς; πῶς δ' ἂν δίκαιός τις γένοιτο,
μεμαθηκὼς μὲν ὅτι χρὴ τὸ ἴσον ἀγαπᾶν, μὴ μεμελετη-
κὼς δὲ φεύγειν τὸ πλεονεκτεῖν; πῶς δ' ἂν ἀνδρείαν
κτησαίμεθα, τὸ μὲν ὅτι μὴ φοβερὰ τὰ δοκοῦντα τοῖς
πολλοῖς δεινὰ κατανενοηκότες, ἄφοβοι δ' εἶναι εἰς αὐτὰ 10
μὴ μεμελετηκότες; πῶς δ' ἂν φρόνιμοι γενοίμεθα, τὰ
μὲν ὡς ἀληθῶς ἀγαθὰ καὶ κακὰ τίνα ἐστὶν ἐγνωκότες,
μὴ γεγυμνασμένοι δὲ καταφρονεῖν τῶν δοκούντων ἀγα-
θῶν; διὸ χρὴ τῇ μαθήσει τῶν προσηκόντων ἀρετῇ
ἑκάστῃ μαθημάτων καὶ τὴν ἄσκησιν ἐπακολουθεῖν 15
πάντως, εἴ γε μέλλει καὶ αὐτῆς τῆς μαθήσεως ὄφελός
τι γενήσεσθαι ἡμῖν. καὶ τοσούτῳ γε χρὴ μᾶλλον ἀσκεῖν
τὸν φιλοσοφεῖν ἀξιοῦντα ἤπερ τὸν ἰατρικῆς ἤ τινος
τέχνης ὁμοίας ἐφιέμενον, ὅσῳ μεῖζον καὶ δυσκατεργα-

17 ss. cf. Arr. Epict. diss. II 9, 13 s. *διὰ τοῦτο παραγγέλλουσιν οἱ φιλόσοφοι μὴ ἀρκεῖσθαι μόνῳ τῷ μαθεῖν, ἀλλὰ καὶ μελέτην προσλαμβάνειν, εἶτα ἄσκησιν. πολλῷ γὰρ χρόνῳ τὰ ἐναντία ποιεῖν εἰθίσμεθα καὶ τὰς ὑπολήψεις τὰς ἐναντίας ταῖς ὀρθαῖς χρηστικὰς ἔχομεν.* Sen. ep. 95, 8 *at haec* (sc. *sapientia*), *quae artem vitae professa est, nulla re, quo minus se exerceat, vetari potest* **19** s. Sen. ep. 104, 19 *sapientia, ars* (*ars* scripsi: *res* libri) *omnium maxima, in itinere colligitur?*

4 *μὲν* sup. lin. suppl. S[1] | *μόνων* M ‖ **7** *γένοιτο μὴ μεμαθ.* M | *ἴσον* an *ἴσην* voluerit M aegre discernas | *μελετηκὼς* A[1], corr. A[2] ‖ **8** *ἀνδρίαν* MA ‖ **11** *μελετηκότες* A ‖ **13** *φρονεῖν* A[1] ‖ **16** *μέλλοι* A[2] ‖ **17** *τοσούτω* ex *τοσοῦτο* corr. S[1] *τοσοῦτο* Br | *χρὴ* sup. lin. S[1] ‖ **18** *τὸν* (ante *φιλοσ.*) M, sed duae litt. priores in ras. M[2] ‖ **19** *ὁμοίως* SMABr: corr. Gesn.[1] p. 200 | *μεῖζον* SMBr, *καὶ μεῖζον* A quem suo more sequuntur Gaisford et Meineke

στότερον φιλοσοφία παντὸς ἐπιτηδεύματος ἑτέρου. καὶ γὰρ οὖν ἐπὶ μὲν τὰς ἄλλας τέχνας † εἶναι οἱ ἐφιέμενοι αὐτῶν, οὐ προδιεφθαρμένοι τὰς ψυχὰς οὐδ' ἐναντία μεμαθηκότες οἷς μαθήσεσθαι μέλλουσιν· οἱ δὲ
5 φιλοσοφεῖν ἐπιχειροῦντες, ἐν διαφθορᾷ γεγενημένοι πρότερον πολλῇ καὶ ἐμπεπλησμένοι κακίας, οὕτω μετίασι τὴν ἀρετήν, ὥστε καὶ ταύτῃ πλείονος δεηθῆναι τῆς ἀσκήσεως. πῶς οὖν καὶ τίνα τρόπον τούτοις ἀσκητέον; ἐπεὶ τὸν ἄνθρωπον οὔτε ψυχὴν μόνον εἶναι
10 συμβέβηκεν οὔτε σῶμα μόνον, ἀλλά τι σύνθετον ἐκ τοῖν δυοῖν τούτοιν, ἀνάγκη τὸν ἀσκοῦντα ἀμφοῖν ἐπιμελεῖσθαι, τοῦ μὲν κρείττονος μᾶλλον, ὥσπερ ἄξιον, τουτέστι τῆς ψυχῆς· καὶ θατέρου δέ, εἴ γε μέλλει μηδὲν ἐνδεῶς ἔχειν τοῦ ἀνθρώπου μέρος. δεῖ γὰρ δὴ καὶ

---

9 cf. Diogenes ap. Diog. Laert. VI 70 *διττὴν δὲ ἔλεγεν* (sc. ὁ *Διογ.*) *εἶναι τὴν ἄσκησιν, τὴν μὲν ψυχικήν, τὴν δὲ σωματικήν . . . εἶναι δὲ ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας κτέ.*
12 cf. Cic. de fin. V 13, 38 *quibus expositis facilis est coniectura ea maxime esse expetenda ex nostris, quae plurimum habent dignitatis, ut optimae cuiusque partis, quae per se expetatur, virtus sit expetenda maxime. ita fiet, ut animi virtus corporis virtuti anteponatur* e. q. s. **14** cf. Cic. de off. I 23, 79 *exercendum tamen corpus et ita afficiendum est, ut oboedire consilio rationique possit in exsequendis negotiis et in labore tolerando*

---

2 *εἶναι* S solito compendio, MABr: *ἔρχονται* (sicut ci. Gesn.^{1} p. 200 mrg.) ex em. A^{2}; *ἴασιν* ci. Preller hist. philos. p. 440 et Hirschig *εἰ⟨ώθασιν ἰέ⟩ναι* Mekler *ἵενται* Buecheler ‖ **3** *διεφαρμένοι* (*προ* suprascr.) A^{2} ‖ **5** *διαφορᾷ* Br ‖ **6** *οὕτωσ* M ‖ **9** *"εἶναι" μόνον* S, *μόνον εἶναι* MBr *μόνην εἶναι* A; *εἶναι μόνον* Tr. p. 165 ‖ **11** *δοιοῖν* S^{1}, corr. S^{2} | post *δοιοῖν* distinxit S, sed ante *ἀνάγκη* litura, qua colon deletum videtur; contra colon post *δυοῖν* del. et post *τούτων* posuit A^{2} | *τούτων* SMABr: tacite corr. Gesn.^{3} p. 204 ‖ **12** *ἄξια* A^{1}, corr. A^{2} ‖ **13** v. *τουτέστι* (*τουτ' ἔστιν* M) *τῆς ψυχῆς* secludi iubet Meineke probante Cobeto (mnemos. IX p. 120) | *μέλλει* etiam A, fallitur Gaisford ‖ **14** ante *γὰρ* una littera erasa M

τὸ σῶμα παρεσκευάσθαι καλῶς πρὸς τὰ σώματος ἔργα τὸ τοῦ φιλοσοφοῦντος, ὅτι πολλάκις αἱ ἀρεταὶ καταχρῶνται τούτῳ ὄντι ὀργάνῳ ἀναγκαίῳ πρὸς τὰς τοῦ βίου πράξεις. τῆς οὖν ἀσκήσεως ἡ μέν τις ἰδία τῆς ψυχῆς μόνης γίνοιτ' ἂν ὀρθῶς, ἡ δέ τις κοινὴ ταύτης 5 τε καὶ τοῦ σώματος. κοινὴ μὲν οὖν ἄσκησις ἀμφοῖν γενήσεται, συνεθιζομένων ἡμῶν ῥίγει θάλπει, δίψει λιμῷ, τροφῆς λιτότητι κοίτης σκληρότητι, ἀποχῇ τῶν ἡδέων ὑπομονῇ τῶν ἐπιπόνων. διὰ γὰρ τούτων καὶ τῶν τοιούτων ῥώννυται μὲν τὸ σῶμα καὶ γίνεται δυσ- 10 παθές τε καὶ στερεὸν καὶ χρήσιμον πρὸς ἅπαν ἔργον, ῥώννυται δὲ ἡ ψυχὴ γυμναζομένη διὰ μὲν τῆς ὑπομονῆς τῶν ἐπιπόνων πρὸς ἀνδρείαν, διὰ δὲ τῆς ἀποχῆς τῶν ἡδέων πρὸς σωφροσύνην. ἰδία δὲ τῆς ψυχῆς ἄσκησίς ἐστι πρῶτον μὲν τὰς ἀποδείξεις προχείρους 15 ποιεῖσθαι τάς τε περὶ τῶν ἀγαθῶν τῶν δοκούντων ὡς οὐκ ἀγαθά, καὶ τὰς περὶ τῶν κακῶν τῶν δοκούντων ὡς οὐ κακά, καὶ τὰ ἀληθῶς ἀγαθὰ γνωρίζειν τε

---

6 Diog. Laert. VII 123 τὴν μέντοι ἄσκησιν ἀποδέξεται (sc. ὁ σπουδαῖος) ὑπὲρ τῆς τοῦ σώματος ὑπομονῆς 14 ss. cf. Cicero de off. I 20, 67 *nam et ea, quae eximia plerisque et praeclara videntur, parva ducere eaque ratione stabili firmaque contemnere fortis animi magnique ducendum est, et ea, quae videntur acerba . . . ita ferre, ut nihil a statu naturae discedas, nihil a dignitate sapientis, robusti animi est magnaeque constantiae*

---

1 παράσκευάσθαι A, ε superscr. A², ά ex ᾶ corr. A¹, ut videtur; fallitur Gaisford ‖ 4 ἰδία Buecheler: διὰ libri, cf. 14 et p. 26 l. 10 ‖ 6 τοῦ om. MBr ‖ 8 λιτότητι an λειτότητι voluerit M aegre dignosco ‖ 9 τῶν ἐπιμόνων S ‖ 12 ὑπομονῆς M sed syllabae ὑπομο in ras. M² ‖ 13 ἀνδρείαν S ἀνδρίαν MABr ‖ 14 ἰδία reposui ex Br: διὰ, sed m. rec. corr. ἰδία S, διὰ MA sed ante δ dubium rasurae vestigium A ‖ 16. 17 τῶν ante ἀγαθῶν et κακῶν deleri iubet Nauck

καὶ διακρίνειν ἀπὸ τῶν μὴ ἀληθῶς ἐθίζεσθαι· εἶτα δὲ
μελετᾶν μήτε φεύγειν μηδὲν τῶν δοκούντων κακῶν
μήτε διώκειν μηδὲν τῶν δοκούντων ἀγαθῶν, καὶ τὰ
μὲν ἀληθῶς κακὰ πάσῃ μηχανῇ ἐκτρέπεσθαι, τὰ δὲ
5 ἀληθῶς ἀγαθὰ παντὶ τρόπῳ μετέρχεσθαι.

Ἐν κεφαλαίῳ μὲν οὖν σχεδὸν εἴρηται, ὁποῖος ἑκά-
τερος τρόπος ἀσκήσεως· οὐ μὴν ἀλλὰ καὶ κατὰ μέρος
ὡς ποιητέον ἕκαστα, πειράσομαι εἰπεῖν, οὐ διακρίνων
οὐδὲ χωρίζων οὐκέτι τά τε κοινὰ τῆς ψυχῆς καὶ τοῦ
10 σώματος ἀσκήματα καὶ τὰ ἴδια τῆς ψυχῆς, ἀλλὰ ἀνα-
μὶξ τὰ ἑκατέρου μέρους διεξιών. οὐκοῦν ἐπειδὴ ταῦτα
μὲν τυγχάνομεν ἀκηκοότες τε καὶ ὑπειληφότες, ὅσοι γε
φιλοσόφου διατριβῆς μετεσχήκαμεν, ὡς οὔτε πόνος οὔτε
θάνατος οὔτε πενία κακὸν οὐδαμῶς ἐστιν οὐδ' ἄλλο
15 τι τῶν κακίας ἀπηλλαγμένων, οὐδ' αὖ πάλιν ἀγαθὸν
πλοῦτος ζωὴ ἡδονὴ ἤ τι ἕτερον τῶν μὴ μετεχόντων
ἀρετῆς· ὅμως δὲ καὶ ταῦθ' ὑπειληφότες διὰ τὴν ἀπὸ
παίδων εὐθὺς γεγονυῖαν ἡμῖν διαφθορὰν καὶ τὴν

---

13 ss. cf. Seneca ep. 82, 14 *istis, quae a nobis indifferentia ac media dicuntur, divitiis, viribus, formae, honoribus, regno et contra morti, exilio, malae valetudini, doloribus quaeque alia aut minus aut magis pertimuimus, aut malitia aut virtus dat boni vel mali nomen* 17 cf. Seneca ep. 82, 23 *quomodo opiniones totius aevi, quibus protinus infantia imbuitur, evincis?*

---

1 ἀληθιν(ῶν) S scribere instituisse videtur Meklero, sed ἀληθῶν corr. S[1], ἀληθῶσ M[1] ἀληθῶν corr. ut videtur M[1], ἀλη-θῶν A[1] sed ν corr. in σ A[2] ut videtur, ἀληθῶς Br; ἀληθῶς ἀγαθῶν ci. Meineke v. IV p. LXIII ‖ 3 μήτε ABrTr. μὴ SM ‖ 4 πᾶσι A[1] ‖ 8 ἕκαστα SA ἅπαντα MBr ‖ 14 οὐδ' ἄλλο τι τῶν]
οὐδὲ τι
ἀλλ' ἄλλο τῶν A, ubi οὐδὲ superscr. A[2], τι A[1] ‖ 16 ἤ τι (potest etiam ἢ εἴ τι) scripsi: ὅτι SA ἤτι vel ὅτι (accentum corr. M[1]) M εἴ τι sed εἴ ex corr. Br οὐδ' ἄλλο τι tacite Gesn.[1] p. 202, sed male ex prioribus ‖ 18 συγγεγονυῖαν mavult Peerlkamp | διαφορὰν et mox διαφορᾶς A

ὑπὸ τῆς διαφθορᾶς συνήθειαν πονηρὰν πόνου μὲν προσ-
ερχομένου κακὸν ἡγούμεθα προσέρχεσθαι ἑαυτοῖς, ἡδο-
νῆς δὲ παραγινομένης ἀγαθὸν ἡγούμεθα παραγίνεσθαι
ἡμῖν, καὶ τὸν μὲν θάνατον ὡς ἐσχάτην συμφορὰν
πεφρίκαμεν, τὴν δὲ ζωὴν ὡς τῶν ἀγαθῶν μέγιστον 5
ἀσπαζόμεθα, καὶ διδόντες μὲν ἀργύριον ὡς βλαπτό-
μενοι λυπούμεθα, λαμβάνοντες δὲ ὡς ὠφελούμενοι
χαίρομεν, παραπλησίως δὲ καὶ ἐπὶ πλειόνων ἄλλων
οὐκ ἀκολούθως ταῖς ὀρθαῖς ὑπολήψεσι τοῖς πράγμασι
χρώμεθα, τῷ δὲ φαύλῳ ἔθει μᾶλλον ἀκολουθοῦμεν. 10
ἐπεὶ οὖν ταῦτα φημὶ ταύτῃ ἔχειν, δεῖ τὸν ἀσκοῦντα
ζητεῖν περιγίγνεσθαι ἑαυτῷ τῇ μὲν ἡδονῇ μὴ ἀσμενίζειν,
τὸν πόνον δὲ μὴ ἐκτρέπεσθαι, καὶ τῷ μὲν ζῆν μὴ φιλη-
δεῖν, τὸν δὲ θάνατον μὴ δεδιέναι, καὶ ἐπὶ χρημάτων
μὴ προτιμᾶν τοῦ προΐεσθαι τὸ λαμβάνειν. 15

---

6 s. cf. Telet. p. 28, 5 ss. et quae olim congessit Gatakerus in Marcum Antonin. VIII 33 11 cf. Seneca ep. 82, 16 *magna exercitatione durandus est animus, ut conspectum eius* (sc. *mortis*) *accessumque patiatur*

---

1 ἄπο (superscr. ύ) A, corr. manus dubia ‖ 3 παραγίνεσθαι S παραγίγνεσθαι alii ‖ 9 τοῦ πράγματοσ A[1] γρ. τοῖς πράγμασι A[2] ‖ 11 ἔχει operarius Gesn.[1] ‖ 12 περιγίγνεσθαι libri; περιγίνεσθαι Meineke | ἑαυτοῦ Halm lect. Stob. p. 4 (*se ipsum vincere*) ‖ 13 fort. τὸν δὲ πόνον | τῷ MABr: τὸ S ‖ 15 τῶ (superscr. ὁ) λαμβ. A

VII.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΟΤΙ ΠΟΝΟΥ ΚΑΤΑΦΡΟΝΗΤΕΟΝ.

Πρὸς δὲ τὸ ῥᾷον καὶ προθυμότερον ὑφίστασθαι
5 *τῶν πόνων ἐκείνους, οὓς ἂν ὑπὲρ ἀρετῆς καὶ καλοκἀ-
γαθίας μέλλωμεν πονεῖν, ταῦτα λελογίσθαι χρήσιμα·
πόσα μὲν πονοῦσιν ἔνιοι δι' ἐπιθυμίας κακάς, ὥσπερ
οἱ ἐρῶντες ἀκολάστως, πόσα δ' ὑπομένουσιν ἄλλοι τοῦ
κερδαίνειν χάριν, πόσα δ' αὖ κακοπαθοῦσιν ἔνιοι θη-*
10 *ρώμενοι δόξαν. καίτοι οὗτοι πάντες ὑπομένουσιν αὐ-
θαίρετοι πᾶσαν ταλαιπωρίαν. ἆρ' οὖν οὐχὶ δεινὸν
ἐκείνους μὲν ὑπὲρ οὐδενὸς τῶν καλῶν ἀνέχεσθαι ταῦτα
πάσχοντας, ἡμᾶς δ' ὑπὲρ καλοκἀγαθίας καὶ τοῦ κακίαν*

---

1 cf. Seneca ep. 31, 4 *labor bonum non est. quid ergo est bonum? laboris contemptio.* *ὡς ὁ πόνος οὐκ ἔστι κακὸν* quomodo demonstrari possit docet Musonius supra p. 2, 16 ss. 7—11 haec tria sollemniter iungunt Stoici velut Cleanthes hymn. in Iov. 26 ss. vel eodem quo Musonius ordine Chrysippus ap. Plut. de Stoic. rep. 33 p. 1049 D *τὸν μὲν φιληδονίᾳ τὸν δὲ πλεονεξίᾳ τὸν δὲ φιλοδοξίᾳ τις ἢ φιλαρχίᾳ συρρήγνυσιν*, vide quae collegit Norden in Fleckeiseni annalium suppl. XVIII p. 338 ss. F 8 *πόσα δ' ὑπομένουσιν κτὲ.*] cf. gnomol. Byz. (Wachsmuth *stud. z. d. griech. floril.* p. 200) n. 207 Hor. sat. I 1, 28 ss. 9 ss. cf. Dio Chrys. VIII p. 280 R. Seneca ep. 78, 16

---

1 Stobaeus III 29, 75 H. eclogam habent cum lemmate SMABr; pro lemm. *μουσωνίου* nec plura Br ‖ 4 initium eclogae usque ad p. 29, 13 *φίλους ἀληθινούς* om. Br | *Πρὸς* in ras. M rubr. ‖ 6 *μέλλομεν* A | *λελογεῖσθαι* M ‖ 7 *ὥσπερ* — 8 *ἀκολάστως* secludi vult Meineke immerito ‖ 8 *πόσοι* S, ubi *δ' ὑπομένουσιν* ut in reliquis, fallitur Gaisford Ecl. II p. 868 | *οἱ* ante *ἄλλοι* add. Tr. p. 162 ‖ 10 *καίτοι* scripsi: *καὶ ὅτι* libri; praestat fortasse *καὶ* [*ὅτι*] *οὗτοι*, cf. p. 30, 6 ‖ 13 *ἡμᾶς* etiam A, errat Gaisford

μὲν ἐκφυγεῖν τὴν λυμαινομένην ἡμῶν τὸν βίον, κτή-
σασθαι δὲ ἀρετήν, ἥ τις ἁπάντων τῶν ἀγαθῶν ἐστι
χορηγός, μὴ πάντα πόνον ἑτοίμως ὑφίστασθαι; καίτοι
οὐδ' ἂν εἴποι τις ὅσῳ κρεῖττον ἀντὶ μὲν τοῦ πονεῖν,
ἵνα τύχῃ τις γυναικὸς ἀλλοτρίας, τὸ πονεῖν, ἵνα παι- 5
δαγωγήσῃ τὰς ἐπιθυμίας τὰς ἑαυτοῦ· ἀντὶ δὲ τοῦ
περὶ χρημάτων ταλαιπωρεῖν τὸ ἀσκεῖν ὥστε ὀλίγων
δεῖσθαι· πρὸ δὲ τοῦ πράγματα ἔχειν ὑπὲρ δόξης τὸ
πραγματεύεσθαι ὅπως μὴ δοξοκόπος ᾖ· πρὸ δέ γε τοῦ
ζητεῖν, ὅπως ᾧ φθονεῖ τις κακοποιήσῃ τοῦτον, τὸ σκο- 10
πεῖν ὅπως μηδὲν φθονήσῃ μηδενί· καὶ πρό γε τοῦ
δουλεύειν τισὶ καλουμένοις φίλοις, ὥσπερ οἱ κόλακες,
τὸ κακοπαθεῖν ἵνα κτήσηται φίλους ἀληθινούς· καθό-
λου δὲ τοῦ πονεῖν πᾶσιν ἀνθρώποις ἀναγκαίου ὄντος,
τοῖς τε τῶν κρειττόνων ὀρεγομένοις καὶ τοῖς τῶν χει- 15
ρόνων, τὸ μὴ πολλῷ εἶναι προθυμοτέρους πονεῖν τοὺς
τὰ κρείττω μετιόντας ⟨ἢ⟩ οἷς ἐλπίδες μικραὶ τῶν

---

1 s. cf. Sen. ep. 67, 5 *nullum autem sine virtute bonum est*

---

1 ἡμῖν (ω superscr.) A[2] ‖ **2** post ἥτις rasura S ‖ **8** πράγματα (sic ut corr. Gesn.[1] p. 198) A e corr.: πράγματος SMA[1] ‖ **9** πραγματεύεσθαι MTr. p. 163: πραγματεύσασθαι SA | δοξοκόπος εἴη libri: δοξοκόπος τις ᾖ Halm lect. Stob. p. 3, unde Meineke δοξοκόπος ᾖ vel δοξοκοπήσῃ ‖ **10** τοῦτον τὸ σκοπεῖν SA τοῦτον σκοπεῖν M; τοῦτο σκοπεῖν Gesn.[1] p. 198 ‖ **11** μηδὲν fuerat, sed in μηδὲ corr. S[1] (fallitur Gaisford Ecl. II p. 868), μηδὲν Tr.: μὴ δὲ M μὴ A ‖ **12** v. ὥσπερ οἱ κόλακες insiticia esse suspicatur Meineke, sed vide infra p. 59, 7 ὥσπερ οἱ σοφισταί et p. 66, 2 ‖ **13** καθόλου] abhinc orditur Br ‖ **16** τῷ SMA: τὸ ex em. A[2], Br ‖ **17** ἢ addidit Halm lect. Stob. p. 4, viam monstraverat Peerlkamp p. 311 | ἐλπίδες μικραὶ τῶν πόνων S: ἐλπίδες (ἐλπ. ut assolet M) τῶν μικρῶν (μακρῶν corr. Br[1]) πόνων MBr ἐλπίδες (μεγάλαι superscr.) τῶν μικρῶν πόνων A superscr. A[2]

πόνων εἰσίν, ἀτοπώτατον. ἀλλ' οἱ μὲν ἄρα θαυματο-
ποιοὶ δύσκολα οὕτως ὑφίστανται πράγματα καὶ τὴν
ζωὴν παραβάλλονται τὴν ἑαυτῶν, οἱ μὲν εἰς μαχαίρας
κυβιστῶντες, οἱ δ' ἐπὶ κάλων μετέωροι βαδίζοντες, οἱ
5 δ' ὥσπερ ὄρνεα πετόμενοι διὰ τοῦ ἀέρος, ὧν τὸ
σφάλμα θάνατός ἐστιν. καὶ ταῦτα πάντα δρῶσι μικροῦ
χάριν μισθοῦ· ἡμεῖς δ' οὐκ ἀνεξόμεθα ταλαιπωρεῖν
ὑπὲρ εὐδαιμονίας ὅλης; οὐ γὰρ ἄλλο τί γε τέλος ἐστὶ
τοῦ γενέσθαι ἀγαθὸν ἢ τὸ εὐδαιμονεῖν καὶ ζῆν μακα-
10 ρίως εἰς τὸ λοιπόν. εἰκότως δ' ἄν τις λογίζοιτο καὶ
τὸ τῶν ζῴων ἐνίων ὁποῖόν ἐστι, πάνυ δὴ δυνάμενον
ἐντρέπειν ἡμᾶς φιλοπόνους εἶναι. οἱ γοῦν ὄρτυγες
καὶ ἀλεκτρυόνες οὔτ' ἀρετῆς ἐπαΐοντες οὐδὲν ὥσπερ ὁ
ἄνθρωπος οὔτε τὸ καλὸν καὶ δίκαιον εἰδότες οὐδ'
15 ὑπὲρ τοιούτου πονοῦντες οὐθενός, ὅμως μαχόμενοι

---

1 cf. Seneca de ira II 12, 5 *istis . . . aut nulla tam pertinacis studii aut non digna merces fuit (quid enim magnificum consequitur ille, qui meditatus est per intentos funes ire? . . .) et tamen ad finem operis non magno auctoramento labor pervenit: nos* etc. Arr. Epict. diss. III 12, 2 *δύσκολον γάρ ἐστι καὶ τὸ ἐπὶ σχοινίου περιπατεῖν καὶ οὐ μόνον δύσκολον, ἀλλὰ καὶ ἐπικίνδυνον* 7 Seneca l. c. 6 *nos non advocabimus patientiam, quos tantum praemium expectat, felicis animi immota tranquillitas?* cf. G. Heilbut Mus. Rhen. XXXIX p. 311
12 ss. cf. Sextus Emp. XI 99 *ὁρῶμεν γάρ, φασίν, ὥς τινα γενναῖα ζῷα, καθάπερ ταῦροι καὶ ἀλεκτρυόνες, ἅπερ μηδεμιᾶς αὐτοῖς ὑποκειμένης τέρψεως καὶ ἡδονῆς διαγωνίζεται μέχρι θανάτου* 13 *ἀλεκτρ.*] cf. Philo *Περὶ τοῦ πάντα σπουδ. εἶναι ἐλ.* p. 466 Mang. Lucianus Anach. 36

---

1 *ἀλλ' οἱ* MBr: *αλλοι* (sic) S *ἄλλοι* A[1] | *μεν αρα* (sine sp. et acc.) S | *θαυματοποιοὶ* (-*οῖ* M) MBr: *θαυμαστοποιοὶ* SA[1] ‖ 2 *δύσκολα* om. Br | *ὄντως* pro *οὕτως* ci. Meineke minus bene, *οὕτως* intellego *nur so, ohne weiteres, mit gleichgültigkeit*, cf. Teletis rel. p. 28, 9 ‖ 5 *πετώμενοι* M ‖ 6 *δρῶσιν* SM ‖ 7 *ἀνεξώμεθα* M ‖ 8 *ἄλλο τι* pro *ἄλλο τί γε* mavult Meineke ‖ 11 *δή* MABr: *τι* S cf. p. 44, 10 ‖ 15 *οὐθενὸς* SM *οὐδενὸς* ABr

ρὸς ἀλλήλους καὶ πηρούμενοι ἀνέχονται καὶ μέχρι θανάτου καρτεροῦσιν, ὥστε μὴ ἡττᾶσθαι θατέρου ὁ ἕτερος. πόσῳ δὴ μᾶλλον εἰκὸς ἡμᾶς ἀνέχεσθαί τε καὶ καρτερεῖν, ὅταν ἐπιστώμεθα διά τι τῶν καλῶν κακοπαθοῦντες, ἢ ἵνα φίλοις βοηθήσωμεν ἢ πόλιν ὠφελήσωμεν ἢ ἵνα γυναικῶν ἢ τέκνων ὑπερμαχήσωμεν, τὸ δὲ μέγιστον καὶ κυριώτατον, ἵνα ἀγαθοὶ ὦμεν καὶ δίκαιοι καὶ σώφρονες, ὃ δίχα πόνων οὐ παραγίνεται οὐδενί. ὅθεν ἔπεισί μοι λέγειν, ὡς ὁ μὴ θέλων πονεῖν σχεδὸν καταδικάζει αὐτὸς αὑτοῦ μηδενὸς εἶναι ἀγαθοῦ ἄξιος, ὅτι τὰ ἀγαθὰ πόνῳ πάντα κτώμεθα. Ταῦτα μὲν καὶ τοιαῦθ' ἕτερα εἶπε τότε, ἐπεγείρων καὶ παρορμῶν τοὺς παρόντας πόνου καταφρονεῖν.

---

11 Epicharmus ap. Xen. apomn. II 1, 20 τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί. cf. quae collegit Wendland *neu entdeckte fragm. Philos* p. 143 s.

---

4 ὅτε A^1 | ἐπιστώμεθα corr. A^2: ἐφιστώμεθα SMABr ‖ 5 non praefero ἢ ⟨ἵνα⟩ πόλιν ‖ 6 post ὑπερμαχήσωμεν interpunxit lenius, fortius post σώφρονες (8) Meineke | ante ἵνα quod scripserat ἢ A^1 delevit A ‖ 7 ἵνα ἀγαθοὶ (supra: αὐτοὶ) A, unde ἵν' αὐτοὶ ἀγαθοὶ Meineke | καὶ δίκαιοι om. A ‖ 8 ὃ δίχα A: δίχα (om. ὃ) SMBr; ὃ suppletum videtur, sed vere | οὐ om. A; praestat fortasse οὐ περιγίνεται ‖ 10 αὐτοῦ M ‖ 11 πάντα πόνῳ S ‖ 12 ποτε pro τότε corr. A^2 ‖ 13 καταφρονεῖν SMBr: μὴ καταφρονεῖν ATr.

VIII.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΟΤΙ ΦΙΛΟΣΟΦΗΤΕΟΝ ΚΑΙ ΤΟΙΣ ΒΑΣΙΛΕΥΣΙΝ.

Εἰσελθόντος δέ ποτε ὡς αὐτὸν τῶν βασιλέων
5 τινὸς τῶν ἀπὸ τῆς Συρίας, ἦσαν γὰρ ἔτι τότε ἐν
Συρίᾳ βασιλεῖς Ῥωμαίων ὑπήκοοι, ἄλλα τε πολλὰ εἶπε
πρὸς τὸν ἄνδρα καὶ δὴ καὶ ταῦτα. Μὴ οἴου, ἔφη,
ἄλλῳ τινὶ μᾶλλον προσήκειν φιλοσοφεῖν ἢ σοί, μηδ'
ἄλλου του χάριν μᾶλλον ἢ ὅτι βασιλεὺς τυγχάνεις ὤν.
10 δεῖ μὲν γὰρ δήπου δύνασθαι τὸν βασιλέα σῴζειν ἀν-
θρώπους καὶ εὐεργετεῖν· τὸν δέ γε σώσοντα καὶ εὐερ-
γετήσοντα χρὴ ἐπίστασθαι, τί μὲν ἀγαθὸν ἀνθρώπῳ
τί δὲ κακόν, καὶ τί μὲν ὠφέλιμον τί δὲ βλαβερόν,
καὶ συμφέρον γε καὶ ἀσύμφορον· εἴ γε ἀπόλλυνται
15 μὲν οἱ περιπίπτοντες τοῖς κακοῖς, σῴζονται δὲ οἱ τυγχά-
νοντες τῶν ἀγαθῶν, καὶ εὐεργετοῦνται μὲν οἱ ἀξιού-
μενοι τῶν ὠφελίμων καὶ συμφερόντων, κακοποιοῦνται
δὲ οἱ ἐμβαλλόμενοι τοῖς ἀσυμφόροις καὶ βλαβεροῖς.

Cf. Plutarchus περὶ τοῦ Ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι p. 776 ss.

---

1 Stobaeus flor. 48, 67 Mein. ecl. cum lemm. hab. SMA ‖ 4 αὐτὸν M sed ὸ in ras. corr. M[2], A: αὐτῶν S ‖ 5 ἦσαν γὰρ ἔτι τότε ἐν Συρίᾳ βασιλεῖς Ῥ. ὑ.] hinc apparet Lucii apomnemoneumata scripta esse aliquot annis post 105, vidit Rohde *ueber Lucians schr.* Λούκιος ἢ ὄνος p. 26 adn. 1 ‖ 6 ὑπήκοοι, post prius ο una littera erasa est, fortasse ι S ‖ 9 ἄλλου τοῦ MA[1] ἄλλού του A[2]. A codicis manus correctrix per hanc eclogam fortasse eadem est quae scripsit fol. 158—165, certe eius simillima | τυγχάνης A[1] ‖ 11 σώσαντα M ‖ 12 μὲν γὰρ ἀγαθὸν A

ἀγαθὸν μέντοι καὶ κακὸν ἢ συμφέρον καὶ ἀσύμφορον ἢ ὠφέλιμον καὶ βλαβερὸν οὐκ ἄλλου του διαγινώσκειν ἢ τοῦ φιλοσόφου ἐστίν, ὃς αὐτὸ τοῦτο διατελεῖ πραγματευόμενος, ὅπως μηδὲ ἓν τούτων ἀγνοήσει, καὶ τέχνην πεποίηται ταύτην εἰδέναι τί φέρει πρὸς ἀνθρώπου 5 *εὐδαιμονίαν ἢ κακοδαιμονίαν. διὸ φαίνεται δεῖν τὸν βασιλέα φιλοσοφεῖν. καὶ μὴν προσήκει μὲν τῷ βασιλεῖ, μᾶλλον δ' ἀνάγκη ἐστὶν αὐτῷ, τὰ δίκαια βραβεύειν τοῖς ὑπηκόοις, ὡς μήτε πλέον ἔχειν μήτε ἐλαττοῦσθαι μηδένα παρὰ τὴν ἀξίαν, ἀλλὰ καὶ τιμῆς καὶ* 10 *τιμωρίας τυγχάνειν τοὺς ἀξίους. ταῦτα δὲ πῶς ποτε δυνηθείη ἄν τις δίκαιος οὐκ ὤν; δίκαιος δὲ πῶς ἂν εἴη τις μὴ ἐπιστάμενος δικαιοσύνην, ὁποῖόν τι ἐστίν; πάλιν οὖν καὶ ταύτῃ φιλοσοφητέον τῷ βασιλεῖ, ὅτι δικαιοσύνην καὶ τὸ δίκαιον οὐκ ἂν ἄλλως φαίνοιτο* 15 *γνούς, εἰ μὴ φιλοσοφήσειεν. οὐ γὰρ οὔθ' ὡς οὐχ ὁ μαθὼν μᾶλλον εἰδήσει τὰ δίκαια τοῦ μὴ μαθόντος ἔστιν εἰπεῖν, οὔθ' ὡς οὐκ ἀμαθεῖς εἰσι τῶν τοιούτων πάντες οἱ μὴ φιλοσοφήσαντες. στασιάζουσι γοῦν καὶ πολεμοῦσι περὶ τῶν δικαίων πρὸς ἀλλήλους, οἱ μὲν* 20 *ταῦτα φάσκοντες οἱ δὲ ἐκεῖνα δικαιότερα εἶναι. καίτοι*

---

20 cf. Plat. Alcib. I p. 112 D

---

1 *καὶ κακὸν* scripsi: *ἢ κακὸν* libri | *καὶ ἀσ.* M: *ἢ ἀσ.* SA ‖ **2** *καὶ βλαβ.* MA: *ἢ βλαβ.* S ‖ **4** *ἀγνοήσει* A²: *ἀγνοήσῃ* SMA ‖ **6** *ἢ κακοδ.* om. Tr. p. 302 ‖ **7** *προσῆκεν* MA¹ *προσῆκε* SA²: corr. Gesn.² p. 336 ‖ **9** *ἔχειν μήτε* MATr.: *ἔχειν μηδὲ* S ‖ **13** post *δικαιοσύνην* praecipit v. *καὶ τὸ δίκαιον οὐκ ἂν*, sed delevit A ‖ **16** *οὐχ* (*οὐχὶ* A¹) *ὁ μαθὼν* SMA¹ *οὐχ ὁ μὴ μαθὼν* corr. A²; *οὐχὶ ὁ μαθὼν* receperunt Gaisford et Meineke, sed *οὐχὶ* ortum videtur ex scriptura *οὐχ'* quae est in M, et *οὔθ' ὡς οὐχ* commendatur anaphora (*οὔθ' ὡς οὐκ* 18) ‖ **17** *μὴ μαθόντος* Halm lect. Stob. p. 5: *μανθάνοντος* SMA *μαθόντος* A² ‖ **18** *ἀμαθής* A¹ ‖ **21** *τοι* om. A

περί γε ὧν ἐπίστανται ἄνθρωποι, περὶ τούτων οὐ
διαφέρονται· οὔτε περὶ λευκῶν ἢ μελάνων, ἢ θερμῶν
ἢ ψυχρῶν, οὔτε περὶ μαλακῶν ἢ σκληρῶν· ἀλλὰ κατὰ
τὰ αὐτὰ περὶ τούτων ἅπαντες φρονοῦσί τε καὶ λέγου-
5 σιν· ὥστε καὶ περὶ τῶν δικαίων ὡμονόουν ἂν παρα-
πλησίως, εἴπερ ᾔδεσαν ἅ τινα ἐστίν· ἐν ᾧ δ' οὐχ ὁμο-
νοοῦσιν, ἀγνοοῦντες φαίνονται. καὶ οὐδὲ σὺ ταύτης
ἐκτὸς εἶ τῆς ἀγνοίας, ὡς ἐγὼ δοκῶ· ὅθεν ἐπιμελητέον
σοι τῆς γνώσεως μᾶλλον ἢ ἄλλῳ ὁτῳοῦν, καὶ τοσούτῳ
10 γε μᾶλλον ⟨ὅσῳ περ⟩ αἴσχιον ἀνδρὶ βασιλεῖ ἢ ἰδιώτῃ
εἶναι ἐν ἀγνοίᾳ δικαιοσύνης.

Ἔτι τοίνυν δεῖ μὲν τὸν βασιλέα σωφρονεῖν αὐτόν,
δεῖ δὲ τοὺς ὑπηκόους σωφρονίζειν, ἵν' ὁ μὲν ἄρχῃ
σωφρόνως, οἱ δ' ἄρχωνται κοσμίως, μηδέτεροι δὲ τρυ-
15 φῶσι· λυμαντικὸν γὰρ ἄρχοντός τε καὶ ἰδιώτου παντὸς
ἡ τρυφή. πῶς δ' ἂν ἢ αὐτὸς σωφρονήσειέ τις μὴ
μελετήσας κρατεῖν τῶν ἐπιθυμιῶν, ἢ ἀκόλαστος ὢν
ἄλλους ποιήσειε σώφρονας; τίς μέντοι ἐπιστήμη πρὸς
σωφροσύνην ἄγει πλὴν φιλοσοφίας, οὐκ ἔστιν εἰπεῖν·
20 αὕτη γὰρ διδάσκει μὲν ἐπάνω ἡδονῆς εἶναι, διδάσκει

---

2 cf. Arr. diss. Epict. I 11, 9 *εἰ ἐζητοῦμεν, ἔφη, περὶ λευκῶν καὶ μελάνων, ποῖον ἂν κριτήριον παρεκαλοῦμεν πρὸς διάγνωσιν αὐτῶν; — Τὴν ὅρασιν, ἔφη. — Τί δ' εἰ περὶ θερμῶν καὶ ψυχρῶν καὶ σκληρῶν καὶ μαλακῶν, ποῖόν τι; — Τὴν ἁφήν.*

---

2 *μελανῶν* A ‖ 8 *εἶ* S: *ἡ* (sine spir.) M *ἧς* A[1] | *ἐπιμελετητέον* M ‖ 9 *ἄλλο* S ‖ 10 *ὅσω περ' αἴσχιον* A[2], et *ὅσῳ αἴσχιον* iam recte Gesn.[1] f. 333[v] (cf. Musonius supra p. 23, 17 ss.): *αἴσχιον* libri, sed *ὅ τε* vel *ὅ γε* supra lin. add. M[2]. sufficit *ὅσῳ*, nulla enim in hiatu offensio, at *ὅσῳ περ' αἴσχιον* Musonius suggerit ipse supra p. 11, 8 ‖ 12 ante *Ἔτι* plenior distinctio in SM, nescio an etiam in A | *δεῖ μὲν τὸν βασιλέα* reposui ex M: *δεῖ τὸν βασιλέα μὲν* SA; *τὸν βασιλέα δεῖ μὲν* ci. Meineke ‖ 14 *ἄρχωνται* ATr. p. 303: *ἄρχονται* SM | *τρυφῶσιν* M ‖ 16 *δὲ* A[1] ‖ 17 *κρατῆσαι* A ‖ 19 *πλὴν* SM *πρὸς* A *πρὸ* A[2]

δ' ἐπάνω πλεονεξίας, διδάσκει δὲ ἀγαπᾶν εὐτέλειαν, διδάσκει δὲ φεύγειν πολυτέλειαν, ἐθίζει δ' αἰδῶ ἔχειν, ἐθίζει δὲ γλώττης κρατεῖν, τάξιν δὲ καὶ κόσμον καὶ εὐσχημοσύνην περιποιεῖ καὶ ὅλως τὸ ἐν κινήσει καὶ σχέσει πρέπον. ταῦτα δὲ ἀνθρώπῳ προσόντα παρέχε- 5
ται σεμνὸν καὶ σώφρονα αὐτόν. καὶ δὴ καὶ βασιλεύς, ὅτῳ ὑπάρχει ταῦτα, μάλιστα ἂν εἴη θεοπρεπής τε καὶ αἰδοῦς ἄξιος. τό γε μὴν ἄφοβον καὶ ἀνέκπληκτον καὶ θαρσαλέον ἔστι μὲν ἀνδρείας ἔργον, πῶς δ' ἂν ἄλλως μᾶλλον ἀνθρώπῳ ὑπάρξειεν ἢ εἴ τις περὶ θανάτου 10
καὶ πόνου λάβοι πίστιν ἰσχυρὰν ὡς οὐ κακοῖν ὄντοιν αὐτοῖν; ταῦτα γὰρ δὴ τὰ ἐξιστάντα καὶ φοβοῦντα τοὺς ἀνθρώπους ἐστίν, ὅ τε θάνατος καὶ ὁ πόνος, ὅταν ὡς περὶ κακῶν πεπεισμένοι ὦσιν αὐτῶν· μὴ κακὰ δ' εἶναι ταῦτα φιλοσοφία διδάσκει μόνη. ὥστ' εἴπερ ἀνδρείαν 15
κτητέον τοῖς βασιλεῦσι, κτητέον δὲ παντὸς ⟨ὅτου⟩οῦν ἑτέρου μᾶλλον, ἐπιμελητέον τοῦ φιλοσοφεῖν αὐτοῖς, ὡς

---

4 cf. Cicero de off. I 35, 126 *decorum illud in omnibus factis, dictis, in corporis denique motu et statu cernitur*

---

2 *διδάσκει — πολυτέλειαν* om. Tr. ‖ **3** *τάξιν δὲ* SM: *τάξιν τε* A ‖ **6** *δεῖ* pro *δὴ* A, sed corr. A[1] ‖ **8** *ἀνέκπληκτον* praeter M etiam SA[1], quid voluerit A[2] ambiguum ‖ **9** *θαρσαλέον* SMA *θαῤῥαλέον* Tr. illud retinui, quamquam *θαρραλέον* libri bis infra | *ἀνδρίας* A | *πῶς — ἄλλως* libri, *πᾶς — ἄλλος* corr. A[2] ‖ **10** *ἀνῶ´ου* A sed *ου* del. A[2] | *ὑπάρξηεν* M[1] -*ξοιεν* M[2] | *τις* SM *τοι* A sed delevit A[2] ‖ **11** *πίστην* A[1] ‖ **13** *ὅταν ὡς* S: *ὅτ ὡς* (sic) M *ὅπως* A v. *ὅπως — μόνη* expunxit A[2] ‖ **14** *δ' εἶναι* SM: *δεόν* (i. e. *δέον*) *εἰδέναι* A idque ita comprobarunt Halm l. c. et Meineke, ut ille & insereret post *ταῦτα*, hic lacunam indicaret. at inutile est *δέον εἰδέναι*. adsumptum videtur *δέον* ex p. 36 l. 21 postquam *εἶναι* abiit in *εἰδέναι* ‖ **15** *ἀνδρείαν* SM: *ἀνδρίαν τ* A[1] ex *τ* fecit *γ* A[2], unde *ἀνδρίαν γε* recepit Meineke. sed *ἀνδρίαν τ* nescio an ortum sit ex *ἀνδρίαν* ‖ **16** *οὖν* SMA: supplevit A[2] qui in textu et in margine *ὅτου* et *ὁτουοῦν*

οὐκ ἂν ἑτέρως ἀνδρείοις γενομένοις. καὶ δὴ βασιλι-
κὸν μέν, εἴ τι ἄλλο, καὶ τὸ ἀήττητον ἐν λόγῳ εἶναι
καὶ δύνασθαι κρατεῖν ὥσπερ ὅπλοις τῶν μαχομένων,
οὕτω λόγοις ⟨τῶν⟩ διαλεγομένων· ὡς ἄν γε ταύτῃ
5 ἀσθενήσωσιν οἱ βασιλεῖς, ἀνάγκη πολλάκις περιάγε-
σθαι αὐτοὺς καὶ βιάζεσθαι τὰ ψευδῆ ὡς ἀληθῆ προσ-
ίεσθαι, ὅπερ ἀφροσύνης ἔργον καὶ ἀμαθίας τῆς ἐσχά-
της. φιλοσοφίᾳ δ' οὐκ οἶδ' εἴ τι ⟨ἄλλο⟩ μᾶλλον ἢ
τοῦτο παρέχειν τοῖς μετιοῦσιν αὐτὴν πέφυκεν, ὥστε
10 περιεῖναι λόγῳ τῶν πλησίον καὶ τὰ ψευδῆ διακρίνειν
ἀπὸ τῶν ἀληθῶν καὶ τὰ μὲν ἐλέγχειν τὰ δὲ βεβαιοῦν.
οἱ γοῦν ῥήτορες ὁπόταν ἔλθωσιν εἰς ταὐτὸ τοῖς φιλο-
σόφοις καὶ διδῶσι καὶ λαμβάνωσι λόγον, ἔστιν ὁρᾶν
αὐτοὺς συγκρουομένους ἀπορουμένους, ἐναντία λέγειν
15 αὑτοῖς ἀναγκαζομένους· καίτοι ὁπόταν οἱ ῥήτορες, οἱ
τοῦτο πεποιημένοι ἔργον λόγους μελετᾶν, ἀσθενέστεροι
περὶ λόγους ἁλίσκωνται τῶν φιλοσόφων ὄντες, τί χρὴ
τοὺς ἄλλους ἀνθρώπους ὑπολαμβάνειν; ὅθεν εἴ τινι
ὄντι βασιλεῖ ἔστιν ἐπιθυμία τοῦ ἐν λόγῳ κράτους,
20 φιλοσοφητέον αὐτῷ, ἵνα μὴ δεδίῃ μηδὲ ταύτῃ μηδένα
ὡς περιγενησόμενον αὐτοῦ, δέον ἁπανταχοῦ ἀδεῆ εἶναι
τὸν βασιλέα καὶ θαρραλέον καὶ ἀήττητον.

Καθόλου δὲ τὸν μὲν βασιλέα τὸν ἀγαθὸν ἀνάγκη
πᾶσα καὶ λόγῳ καὶ ἔργῳ εἶναι ἀναμάρτητον καὶ τέ-

---

1 perierunt membranae laesione *βασιλικὸν μὲν*, 3 *τῶν μαχ. οὕτω*, 5 *-κη πολλάκις πε-* S ‖ 4 *οὕτω* M[2]ATr., *οὐ τοῖσ* M[1] | *τῶν* om. SMA, suppl. A[2] | *ὡς ἄν τε* Tr. ‖ 6 *αὐτοις* idque sine acc. S ‖ 7 periit *ὅ* S ‖ 8 *ἄλλο* addidit Meineke ‖ 9 *αὐτὴν* M[1] *αὐτῆσ* M[2] ‖ 13 *δίδωσι* libri, accentum corr. A[2] ‖ 14 *συγκρινομένους* M ‖ 15 *αὐτοῖς* MA[1] *αὐτοῖς* ut videtur S, certe Tr. p. 804 ‖ 17 *ἁλίσκονται* A[1] ‖ 19 *λόγοις* Tr. ‖ 20 *δεδείη* A[1] ‖ 21 *ὥσπερ γενησόμενος* Tr. quo deceptus est Gesner ‖ 22 *θαρραλέων* M[1] corr. M[2] ‖ 23 *μὲν* del. A[2] ‖ 24 *εἶναι* MA: *καὶ εἶναι* S

λειον· εἴ περ δεῖ αὐτόν, ὥσπερ ἐδόκει τοῖς παλαιοῖς, νόμον ἔμψυχον εἶναι, εὐνομίαν μὲν καὶ ὁμόνοιαν μηχανώμενον, ἀνομίαν δὲ καὶ στάσιν ἀπείργοντα, ζηλωτὴν δὲ τοῦ Διὸς ὄντα καὶ πατέρα τῶν ἀρχομένων ὥσπερ ἐκεῖνον. τοιοῦτος δὲ πῶς ἂν εἴη τις μὴ φύσει 5 *τε διαφερούσῃ κεχρημένος παιδείαν τε τὴν ἀρίστην πεπαιδευμένος ἀρετάς τε ἁπάσας ἔχων, ὅσαι περ ἀνθρώπῳ προσήκουσιν; εἰ μὲν οὖν καὶ ἑτέρα ἐπιστήμη ἐστὶν ἡ ποδηγοῦσα πρὸς ἀρετὴν ἀνθρώπου φύσιν καὶ ἀσκεῖν καὶ μετιέναι τὰ καλὰ διδάσκουσα, παραβλητέον* 10 *ἂν εἴη καὶ συγκριτέον, εἴτε ἐκείνη εἴτε φιλοσοφία κρείττων καὶ ἀποχρῶσα μᾶλλον ἀγαθὸν ἀποδεῖξαι βασιλέα· καὶ τῇ κρείττονι χρῷτ' ἂν εἰκότως ὁ βασιλεὺς βουλόμενός γε δὴ εἶναι ἀγαθός. εἰ δ' ἄλλη μὲν οὖν οὐδ' ὑπισχνεῖται τέχνη οὐδεμία παράδοσιν καὶ διδα-* 15 *σκαλίαν ἀρετῆς, ⟨ἀλλ' εἰσὶν⟩ αἱ μὲν περὶ τὸ σῶμα τὸ ἀνθρώπινον καὶ τὰ τούτῳ χρήσιμα πραγματευόμεναι*

---

2 Plato Polit. p. 295 E ss. cf. Clem. Alex. strom. II p. 438 P. *ὅ τε Ἐλεάτης ξένος τὸν βασιλικὸν καὶ πολιτικὸν ἄνδρα νόμον ἔμψυχον ἀποφαίνεται.* Xenopho inst. Cyri VIII 1, 22. Cic. de leg. III 1, 2 *vereque dici potest magistratum legem esse loquentem.* cf. Diotogenes Stobaei flor. 48, 61 vol. II p. 260, 25 M. Themist. or. V p. 64 b XVI extr. **4** *ζηλωτὴν δὲ τοῦ Διὸς*] cf. Sthenidas Stobaei flor. 48, 63 p. 265, 11 M. *πατέρα τῶν ἀ.*] cf. Sthenidas l. c.

---

1 *δεῖ* MA: *δι'* S ‖ **4** *ὄντα* SM: *εἶναι* A ‖ **6** *διαφέρουσιν* M^1 corr. M^2 | *παιδείαν τε* SA: *παιδείαν δὲ* ni fallor M, certe Tr. ‖ **7** *ὅσαις* A ‖ **8** *προσήκουσι* A^1 ‖ **9** *φύσιν* etiam M^1 *φύσισ* M^2 ‖ **13** *φανείσῃ* ante *κρείττονι* add. A^2, frustra recepere Halm et Meineke ‖ **14** *βουλευόμενός* Tr. | *γε δὴ* A^2: *τε δὴ* SM *τε δεῖ* A^1; *τε* seclusit Gesn.[1] | *μὲν οὖν οὐδ'* A^1: *μὲν οὐδ'* SM *οὖν* delevit et *οὖν* in *οὐχ* mutavit A^2 ‖ **15** *διδασκαλίαν* Tr.: *διδασκαλίαι* SMA^1 ‖ **16** *ἀλλ' εἰσὶν* (vel *εἰσ'*) addidi, *ἀλλ'* iam Gesn.[1] f. 334ᵛ unde suprascr. A^2 | *τὰ περὶ* A sed *τὰ* A^2 ‖ **17** *τούτου* A | *πραγματευόμεναι* (*ευ* in ras. corr. M) libri, nisi quod A^2 *πραγματεύονται*, quae correctio repetitur in margine dextro

*μόνον, ὅσαι δὲ τῆς ψυχῆς ἐφάπτονται, πάντα σκοπού-
μεναι μᾶλλον, ἢ ὅθεν αὐτὴ σωφρονήσει· μόνη δὲ φιλο-
σοφία τοῦτο σκοπεῖται καὶ τοῦτο μηχανᾶται, πῶς ἂν ὁ
ἄνθρωπος κακίαν μὲν ἐκφύγοι, κτήσαιτο δὲ ἀρετήν· εἰ
5 ταῦτα ταύτῃ ἔχει, τί ἂν ἄλλο εἴη βασιλεῖ τῷ γε ἀγαθῷ
εἶναι βουλομένῳ προυργιαίτερον τοῦ φιλοσοφεῖν; μᾶλ-
λον δὲ πῶς καὶ τίνα τρόπον δύναιτο ἄν τις βασιλεῦ-
σαι ἢ βιῶναι καλῶς, εἰ μὴ φιλοσοφήσειεν; ἐγὼ μὲν
οἶμαι τὸν βασιλέα τὸν ἀγαθὸν εὐθὺς καὶ φιλόσοφον
10 ἐξ ἀνάγκης εἶναι καὶ τόν γε φιλόσοφον εὐθὺς καὶ
βασιλικὸν εἶναι.*

*Πρῶτον δὲ τὸ πρότερον θεασώμεθα. ἆρ' ἔσθ'
ὅπως βασιλεὺς ἀγαθὸς εἴη τις ἂν μὴ ἄνθρωπος ἀγα-
θὸς ὤν; οὐκ ἔστιν εἰπεῖν. ἀγαθὸς δέ τις ἀνὴρ ὢν
15 οὐ καὶ φιλόσοφος εἴη ἄν; νὴ Δία, εἴ γε τὸ φιλοσοφεῖν
καλοκἀγαθίας ἐπιτήδευσίς ἐστιν. ὥσθ' ὁ βασιλεὺς ὁ*

---

9 respicitur et illustratur Socratis dictum ap. Platonem de re p. V p. 473 D. quam multi eo usi sint docet Sternbach in gnomol. Vat. 443 **14** Dio Prus. or. XIII 28 vol. I p. 187, 1 Arn. Antisthenem fortasse secutus (cf. ab Arnim *Leben und Werke des Dio* p. 259) τὸ γὰρ ζητεῖν καὶ φιλοτιμεῖσθαι ὅπως τις ἔσται καλὸς καὶ ἀγαθὸς οὐκ ἄλλο τι εἶναι ἢ [τὸ] φιλοσοφεῖν. Sen. ep. 89, 5 *studium illam* (sc. *philosophiam*) *virtutis esse dixerunt*

---

1 πάντας A[1] | σκοπούμεναι SMA: σκοποῦνται A[2] eademque corr. exstiterat in margine sinistro. et σκοποῦνται et supra ἀλλ' αἳ μὲν — πραγματεύονται μόνον male scripsit Meineke ‖ **2** αύτη sine acc. M | syllabae νήσει e corr. M[1] ut videtur ‖ **3** 'aut hic σκοπεῖται leg. aut supra σκοποῦσι' Meineke: σκοπεῖ libri | πῶς ὁ SMA ἂν supra ὁ dedit A[2], unde πῶς ἂν ὁ Halm et Meineke, sed fortasse verum est πῶς ἂν ἄνθρ., quod teste Gaisfordo offert cod. Par. 1985, aut πῶς ἂν ἄνθρ. ‖ **6** προυργ. τ. φ. S: τ. φ. προυργιαίτερον (-γιέτερον A[1]) MA fortasse recte ‖ **7** πῶς καὶ τίνα τρ. MA: καὶ τίνα τρ. S; cf. supra p. 24, 8 ‖ **15** οὐ καὶ φιλ. Halm lect. Stob. p. 6: οὐκ ἀφιλόσοφος SMA οὐκ ἂν φιλόσοφος A[2]

ἀγαθὸς ἐξ ἀνάγκης εὐθὺς καὶ φιλόσοφος εὑρίσκεται ὤν. καὶ μὴν ὅ γε φιλόσοφος ὅτι πάντως καὶ βασιλικός, οὕτως ἂν μάθοις. τοῦ γὰρ βασιλικοῦ δήπου ἐστὶ τὸ δύνασθαι καλῶς ἐπιτροπεύειν ἔθνη καὶ πόλεις καὶ εἶναι ἄξιον ἀνθρώπων ἄρχειν. τίς δ' ἂν ἢ ἱκα- 5
νώτερος εἴη πόλεως προστάτης ἢ ἀξιώτερος ἀνθρώπων ἄρχειν τοῦ φιλοσόφου; ᾧ γε προσήκει (ἄν περ ᾖ ἀληθῶς φιλόσοφος) εἶναι φρονίμῳ, σώφρονι, μεγαλόφρονι, τῶν δικαίων κριτικῷ καὶ τῶν πρεπόντων, καταπρακτικῷ τῶν νοηθέντων, καρτερικῷ τῶν ἐπιπόνων· πρὸς δὲ 10
τούτοις θαρραλέος ἀδεὴς ὑποστατικὸς τῶν δοκούντων δεινῶν εἴη ἄν, ἔτι δὲ εὐεργετικὸς χρηστὸς φιλάνθρωπος. τοῦ δὲ τοιούτου τίς ἂν εὑρεθείη ἄρχειν ἐπιτηδειότερος ἢ δυνατώτερος; οὐδείς. ἂν δὲ μὴ ἔχῃ πολλοὺς τοὺς ὑπακούοντας καὶ πειθομένους αὐτῷ, οὔπω 15
διὰ τοῦτο τοῦ βασιλικὸς εἶναι ἐστέρηται· ἐξαρκεῖ γὰρ καὶ τὸ τῶν φίλων ἄρχειν τῶν ὑπαρχόντων ἢ γυναικός τε καὶ παίδων, ἢ καὶ νὴ Δία αὐτὸν αὐτοῦ μόνον. καὶ γὰρ ἰατρὸς οὐδὲν ἧττον τοῦ θεραπεύοντος πολλοὺς ὁ θεραπεύων ὀλίγους, εἴ γε ἔχει τὴν ἐμπειρίαν τὴν ἰατρι- 20
κήν· καὶ μουσικὸς οὐδὲν ἧττον τοῦ διδάσκοντος πολ-

---

2 s. cf. Diog. Laert. VII 122 Stob. II p. 108, 26 W.
18 cf. Teles p. 3, 9 H.

---

2 *ὅτι* ex *ὅτε* corr. S[1] ‖ **3** *ἀν μαθηισ* (sic) M | *δήπου* (fortasse ex *τοῦτο*) corr. S[1] ‖ **8** *μεγαλόφρονι* om. Tr. ‖ **9** *τῶν πρεπόντων* ⟨*διδακτικῷ*⟩ ci. Meineke Stob. vol. IV p. LXX, poterat *τ. πρεπ.* ⟨*περιποιητικῷ*⟩ coll. p. 35, 4. sed ne novum praedicatum addatur, dissuadet asyndeton ‖ **12** *ἔτι* libri, sed supra lin. S[1] *χρηστὸς φιλ.* MA: *φιλ. χρηστός* S ‖ **14** *ἔχει* in *ἔχῃ* corr. M[1] ‖ **17** *φίλων* SM *φιλοσόφων* A[1], sed ipse corr. A[1]. frustra locum sollicitavit Hirschig, cf. Meineke Stob. flor. IV p. LXX ‖ **18** *μόνον* MA: *μόνου* (vix enim dubium videtur Meklero) S et sic Tr. ‖ **20** *ἔχει* A: *ἔχοι* SM

λοὺς ὁ διδάσκων ὀλίγους, εἴ γε ἔχει τὴν μουσικήν·
καὶ ἱππικὸς ὁμοίως τῷ χρωμένῳ πολλοῖς ἵπποις ὁ χρώ-
μενος ἑνὶ ἢ δυοῖν, ἄν γε ἐπιστήμων τῆς ἱππικῆς ᾖ·
καὶ δὴ καὶ βασιλικὸς παραπλησίως τῷ κεκτημένῳ πολ-
5 λοὺς ὑπηκόους ὁ ἔχων ἕνα ἢ δύο τοὺς πειθομένους
αὐτῷ· μόνον ἐχέτω τὴν τοῦ βασιλεύειν ἐμπειρίαν, ὥστε
καὶ βασιλικὸς εἴη ἄν. διὰ τοῦτό μοι δοκεῖ καὶ Σω-
κράτης τὴν φιλοσοφίαν πολιτικήν τε καὶ βασιλικὴν
ἐπιστήμην ὀνομάζειν, ὅτι ὁ ταύτην ἀναλαβὼν εὐθὺς
10 πολιτικός ἐστι. Τοιαῦτα τοῦ Μουσωνίου εἰπόντος,
ἡσθεὶς ὁ βασιλεὺς τοῖς λόγοις χάριν τε ἔχειν ὡμολόγει
τῶν εἰρημένων αὐτῷ, καὶ ἀντὶ τούτων, ἔφη, αἴτησον
ὅ τι βούλει με, οὐ γὰρ ἂν ἀντείποιμί σοι περὶ οὐδε-
νός. Ὁ οὖν Μουσώνιος, αἰτῶ σε, ἔφη, τούτοις στοι-
15 χεῖν καὶ ἕπεσθαι τοῖς λόγοις, οὓς ἐπαινεῖς· καὶ γὰρ
ἐμοὶ οὕτω χαριεῖ μάλιστα καὶ ὠφεληθήσῃ αὐτὸς οὐχ
ἑτέρως μᾶλλον.

---

4 Tel. p. 16, 15 H. τῇ γὰρ αὐτῇ ἐμπειρίᾳ χειρούμενον καὶ τοὺς πολλοὺς καὶ τὸν ἕνα . . . καὶ τῇ ἀρχῇ καλῶς καὶ τῇ ἰδιωτείᾳ ἔστι χρῆσθαι apte comparavit A. Giesecke 9 cf. Plat. rei p. V p. 473 D

---

1 ἔχει A: ἔχοι SM | ἔχει ⟨τὴν ἐπιστήμην⟩ τὴν μουσικήν subdubitans prop. Meineke ‖ 3 δυοῖν A: δυσὶν SM ‖ 4 βασιλικὸς S -κὸσ ex -κουσ (vel κωσ?) corr. M[1] sic ut ο ex ω corr. A[2] | παραπλήσιος ex -πλησίως corr. A[2] ‖ 9 ταύτησ in -ην corr. M[1] ‖ 10 ἐστιν M ‖ 16 χαριῇ A | ὠφελήσῃ tacite et inutiliter Gaisford

IX.

ΜΟΥΣΩΝΙΟΥ
ΕΚ ΤΟΥ
ΟΤΙ ΟΥ ΚΑΚΟΝ Η ΦΥΓΗ.

Φυγάδος δέ τινος ὀδυρομένου ὅτι φεύγει, οὕτω πως παρεμυθήσατο αὐτόν. Φυγὴν γάρ, ἔφη, πῶς ἂν 5 τις μὴ ἀνόητος ὢν βαρύνοιτο; ἥτις ὕδατος μὲν καὶ γῆς καὶ ἀέρος, ἔτι δὲ ἡλίου καὶ τῶν ἄλλων ἄστρων οὐκ ἀπείργει ἡμᾶς οὐδαμῶς, ἀλλ᾽ οὐδὲ ἀνθρώπων ὁμιλίας, ἁπανταχοῦ γὰρ καὶ πάντῃ τούτων μετουσία ἐστίν. εἰ δὲ μέρους τινὸς τῆς γῆς ἀφαιρούμεθα καὶ 10 τινῶν ἀνθρώπων συνουσίας, τί τοῦτο δεινόν; οὐδὲ γὰρ οἴκοι ὄντες ἁπάσῃ τῇ γῇ ἐχρώμεθα, οὐδὲ ἀνθρώποις ἅπασι συνῆμεν· τοῖς μέντοι φίλοις καὶ νῦν συνείημεν ἄν, τοῖς γε ἀληθινοῖς καὶ ὧν προσήκει ποιεῖσθαί τινα λόγον· οὐ γὰρ ἂν οὗτοι προδοῖεν ποτὲ 15 ἡμᾶς οὐδ᾽ ἐγκαταλίποιεν· εἰ δέ τινες πλαστοὶ καὶ οὐκ ἀληθινοὶ φίλοι εἰσί, τούτων ἀπηλλάχθαι κρεῖττον ἢ

˜1 Cicero Tusc. disp. III 34, 81 *separatim certae scholae sunt de exilio, de interitu patriae.* Πρὸς τοὺς φυγάδας vel Φυγάδες scripsit iam Aristippus teste Diogene Laert. II 84. 85 **6** s. cf. Plut. de exilio p. 601 C Arr. Epict. diss. III **13**, **16**. 22, 22. Sen. dial. XII 8, 6 **15** Sen. ep. 9, 10 *in quid amicum paro? . . . ut habeam quem in exilium sequar*

---

1 Stobaeus III 40, 9 H. ecl. cum lemm. hab. SLMA; *Μουσωνίου* om. L, *ἐκ τοῦ* om. S, *ἡ* om. M ‖ **4** *φεύγει* SA *φεύγοι* L *φεύγει* (η suprascr.) M[1] | *οὕτω* SA: *οὕτως* LM ‖ **8** *ἀπείργει* SM *ἀπείργειν* compend. L *ἀπήργει* A[1] ‖ **10** *μέροσ* M | *τινὸς τῆς γῆς* LMA *τῆς γῆς τινὸς* S ‖ **13** *σύνειμεν* L ‖ **14** *γε*] *τε* M | *ἀληθινῶς* L | *ὧν*] *ὦ* L ‖ **17** *φίλοι* tacite seclusit Peerlkamp | *κρείττων* M

συνεῖναι αὐτοῖς. τί δ'; οὐχὶ κοινὴ πατρὶς ἀνθρώπων ἁπάντων ὁ κόσμος ἐστίν, ὥσπερ ἠξίου Σωκράτης; ὥστ' οὐδὲ φεύγειν τῇ γε ἀληθείᾳ τὴν πατρίδα νομιστέον, ἂν ἀπέλθῃς ἐντεῦθεν ἔνθα ἔφυς τε καὶ ἐτράφης, πό-
5 *λεως δὲ μόνον ἐστερῆσθαί τινος, ἄλλως τε κἂν ἀξιοῖς τις εἶναι ἐπιεικής. ὁ γὰρ τοιοῦτος χωρίον μὲν οὐδὲν οὔτε τιμᾷ οὔτ' ἀτιμάζει οὕτως ὡς εὐδαιμονίας ⟨ἢ κακοδαιμονίας⟩ αἴτιον· αὐτὸς δὲ ἐν αὑτῷ τίθεται τὸ πᾶν, καὶ νομίζει εἶναι πολίτης τῆς τοῦ Διὸς πόλεως, ἣ συν-*
10 *έστηκεν ἐξ ἀνθρώπων καὶ θεῶν. σύμφωνα δὲ τούτοις λέγει καὶ Εὐριπίδης ἐν οἷς φησιν*

ἅπας μὲν ἀὴρ ἀετῷ περάσιμος,
ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.

ὥσπερ οὖν εἴ τις ἐν τῇ πατρίδι ὢν καὶ ἑτέραν

---

1 ss. cf. Cic. Tusc. disp. V 37, 108 Plutarch. de exil. p. 600 F Arr. Epict. diss. I 9, 1 Sen. dial. VII 20, 5 IX 4, 4 ep. 28, 4 **6** s. cf. Plut. de exil. p. 607 F *ἀνθρώπου δ' οὐδεὶς ἀφαιρεῖται τόπος εὐδαιμονίαν, ὥσπερ οὐδ' ἀρετὴν οὐδὲ φρόνησιν* **8** Antisthenes Diog. Laert. VI 11 *αὐτάρκη γὰρ τὴν ἀρετὴν εἶναι πρὸς εὐδαιμονίαν κτέ.* Sen. ep. 9, 18 *omne intra se bonum terminabit et dicet quod Stilbon ille dixit* e. q. s. **9** *Διὸς πόλεως*] cf. Marcus Antoninus IV 23 al. Diog. Laert. VII 138 *ἔστι κόσμος . . . σύστημα ἐκ θεῶν καὶ ἀνθρώπων.* Cicero de leg. I 7, 23 de fin. III 19, 64 de deorum nat. II 62, 154 Seneca dial. VI 18, 2 VIII 4, 1 Arr. Epict. diss. II 5, 26, ubi vide quae collegit Ypton **12** Eur. fr. 1047 N.[2] **14** s. 'domus similitudo Bionem redolet' olim adnotavimus ad Teletem p. 19, 4; etiam

---

2 *ὥστ' οὐδὲ* SM *ὡσ τοῦδε* L *ὥστε οὐδὲ* A; *ὥστε οὐ* Tr. p. 196 ‖ **3** *τῆ γε* S, *τῆδε* L, *τῆ γεῖν* (*γῆν* m. rec. mrg.) *τῆ γε* M, *τὴν γῆν τῇ γ'* illud del. A ‖ **4** *ἀπέλθη* L ‖ **5** *μόνης* L | *ἐστερεῖσθαι* A[1] | *κἂν ἄξιός* S *ἂν ἄξιός* L *καὶ ἀνάξιόσ* M *κἂν ἄξιον* A[1]: *κἂν ἀξιοῖς* A ex em. sic ut coni. Gesn.[1] p. 240 mrg. ‖ **6** *τις* om. A | *χωρίον* ex em. dupl. A; quid habuerit A[1] ambiguum, videtur *χωρεῖον* ‖ **7** *ἢ κακοδαιμονίας* addidi, cf. supra p. 33, 6 ‖ **8** *αἴτιον* sed *ν* ex *ω* corr. M[1]; num *αἴτιον ὄν*? ‖ **11** *λέγει* om. L | in marg. sinistr. *εὐριπ*[δ]*π* adscr. M m. rec. ‖ **12** *ἀετῷ* A[1] *αἰετῷ* A m. dubia

οἰκίαν οἰκῶν, οὐκ ἐν ᾗ ἐτέχθη, δεινοπαθοίη διὰ τοῦτο καὶ ὀδύροιτο, μάταιος ἂν εἴη καὶ καταγέλαστος· οὕτω καὶ ὅστις ἑτέραν πόλιν οἰκῶν, οὐκ ἐν ᾗ τυγχάνει γεγονώς, συμφορὰν ἡγεῖται, ὁ τοιοῦτος εἰκότως ἂν ἄφρων νομίζοιτο καὶ ἀνόητος. καὶ μὴν πρός γε τὴν ἐπιμέλειαν τὴν ἑαυτῶν καὶ πρὸς κτῆσιν ἀρετῆς πῶς ἂν τὸ φεύγειν ἐνίσταιτο; ὁπότε γε μήτε μαθήσεως μήτε ἀσκήσεως [καὶ] ὧν χρὴ εἴργεταί τις διὰ τὴν φυγήν. πῶς μὲν οὐκ ἂν ἡ φυγὴ καὶ συνεργοίη πρὸς τὸ τοιοῦτον, παρέχουσά γε σχολὴν καὶ ἐξουσίαν τοῦ μανθάνειν τε τὰ καλὰ καὶ πράττειν μᾶλλον ἢ πρότερον, ἅτε μήθ' ὑπὸ πατρίδος τῆς δοκούσης περιελκομένοις εἰς ὑπηρεσίας πολιτικὰς μήτε ὑπὸ φίλων τῶν δοκούντων ἢ συγγενῶν ἐνοχλουμένοις, οἵ τινες ἐμποδίσαι δεινοὶ καὶ ἀποσπάσαι τῆς ἐπὶ τὰ κρείττω ὁρμῆς; ἤδη δέ τισι καὶ παντάπασι τὸ φεύγειν συνήνεγκεν, ὥσπερ Διογένει, ὃς ἐκ μὲν ἰδιώτου φιλόσοφος ἐγένετο φυγών, ἀντὶ δὲ τοῦ καθῆσθαι εἰς Σινώπην διέτριψεν ἐν τῇ Ἑλλάδι, ἀσκή-

δεινοπαθεῖν verbum (cf. Telet. p. 13, 2; 44, 15) Bioneum videtur Gieseckeo l. c. p. 46 Henrico de Mueller De Teletis elocut. (Frib. Br. a. 1891) p. 58 **6** cf. Seneca ep. 74, 28 **15** Seneca de tranquill. an. 9, 3 *exilia interim calamitatesque in remedium cessere et levioribus incommodis graviora sanata sunt.* Plut. de cap. ex inimicis util. p. 87 A *ἔνιοι δὲ καὶ πατρίδος στέρησιν καὶ χρημάτων ἀποβολὴν ἐφόδιον σχολῆς ἐποιήσαντο καὶ φιλοσοφίας, ὡς Διογένης καὶ Κράτης.* cf. Diog. Laert. VI 49 init.

οἰη οι

1 *οἰκίαν* bis hab. L | *δεινοπαθα*, non *η* sed *οι* videtur ex *α* corr. A², *οἰη* scr. m. diversa A ‖ **2** *οὕτως* LM ‖ **5** *λογίζοιτο* A | *μὴν*] *μὴ* L | *γε* om. A ‖ **6** *πρὸς* om. L | *πῶς*] add. *οὐκ* supra lin. M m. rec. | *τὸ*] *τοῦ* M ‖ **7** *ἐνίστατο* L ‖ **8** *καὶ* seclusi ‖ **9** *οὖν* post *μὲν* add. A²; recepit Meineke, fortasse recte ‖ **11** *μέθ'* L ‖ **12** *περιελκόμενος* et infra *ἐνοχλούμενος* compend. L | *ὑπη* in *ὑπηρεσίας* add. A² ‖ **15** *τισι*] *τι* S ‖ **16** *διογέν'* L ‖ **17** *φεύγων* ci. Cobet mnemos.² II p. 101

σει δὲ τῇ πρὸς ἀρετὴν τῶν φιλοσόφων διήνεγκεν.
ἄλλοις δέ γε κακῶς τὰ σώματα διακειμένοις ὑπὸ μαλα-
κίας καὶ τρυφῆς ἔρρωσεν ἡ φυγή, βιασθεῖσιν ἀνδρικώ-
τερον διαιτᾶσθαι· καὶ ἴσμεν τινὰς χρονίων νοσημάτων
5 *ἐν τῷ φεύγειν ἀπολυθέντας, ὥσπερ ἀμέλει Σπαρτια-*
τικὸς οὗτος ὁ Λακεδαιμόνιος, ὃς ἀπὸ πολλοῦ ἔχων τὸ
πλευρὸν κακῶς κἀκ τούτου πολλάκις νοσῶν διὰ τὴν
τρυφήν, ἐπειδὴ ἐπαύσατο τρυφῶν, ἐπαύσατο καὶ νοση-
λευόμενος. ἄλλους δέ γε τῶν ἁβροδιαίτων ποδάγρας
10 *ἀπολυθῆναί φασι, πάνυ δὴ κατατεινομένους πρότερον*
ὑπὸ τούτου τοῦ πάθους, οὓς ἡ φυγὴ σκληρότερον διαι-
τᾶσθαι συνεθίσασα κατ' αὐτὸ τοῦτο ὑγιεῖς γενέσθαι
παρεσκεύασεν. οὕτως ἄρα τῷ διακεῖσθαι κρεῖττον αὐ-
τοὺς ἑαυτῶν καὶ σῶμα καὶ ψυχὴν συνεργεῖ μᾶλλον ἢ
15 *ἀντιπράττει ἡ φυγή.*

Ἀλλ' οὐδ' ἀπορεῖν τῶν ἀναγκαίων πάντως ὑπάρχει

---

5 Spartiatici ut aequalis exemplum de suo dedit Musonius: C. Iulium Spartiaticum (cf. CIA III 805 Kavvadias *Fouilles d' Épid.* p. 66 n. 197) intellegendum esse vidit Buecheler mus. Rh. LIII p. 166 s. **16** ss. cf. Plut. de exil. p. 601 E

---

2 *τὰ σώματα* SLM: *τὸ σῶμα* A praetulerunt Halm Meineke, etiam Cobet proponens *κακῶς τὸ σῶμα διακείμενον* mnemos. IX p. 124. at recte pluralis numerus, cf. Stob. III p. 506, 4 *πολὺ γοῦν κάκιον διακειμένους ὁρᾶν ἔστι τὰ σώματα κτέ.*, cogitandus etiam ad *ἔρρωσεν* ‖ **3** *φυγή* ex *τρυφή* corr. S[1] | *ἀνδρικῶ* (superscr. *τρ*) L ‖ **4** *τιὰσ* L ‖ **5** *εὐπολυθέτας* compend. L ‖ **8** *τρυφήν* reposui ex SLMA: *φυγὴν* Tr. p. 197 | *τρυφᾶν* M | *νοσιλευόμενος* S *νοσηλεύεσθαι* L *νοση-λευόμενος* M *νοσϋλευόμενος* A ‖ **9** *ποδαγόρας* A[1] ‖ **10** *κατατεινο-μένους* SA *γε καταπονουμέν* (superscr. *οις*) *ους* compend. L *κατατεινόμενοσ*, superscr. *ουσ* m. rec. (licet hoc aegre possit legi) M ‖ **11** *ὡς* SM *οὓς* L, A ex em. ‖ **13** *τὸ* SLM *τῶ* A[1]: *πρὸς τὸ* ex emend. A ‖ **13** *αὐτοὺς ἑαυτῶν* (ut correxerat Halm lect. Stob. p. 4) L: *ἑαυτοὺς ἑαυτῶν* SMA ‖ **16** *πάντως* S (ita tamen ut *σ* prius *ν* fuisse videatur), LMA; *πάντων* Tr.

τοῖς φεύγουσιν. ὅσοι μὲν γὰρ ἀργοὶ καὶ ἀμήχανοι καὶ οὐχ οἷοί τε ἀνδρίζεσθαι, οὗτοι μὲν κἂν τῇ πατρίδι ὄντες ἀποροῦσιν ὡς τὸ πολὺ καὶ ἀμηχανοῦσιν· οἱ δὲ γεννικοὶ καὶ φιλόπονοι καὶ συνετοί, κἂν ὅποι ποτὲ ἔλθωσιν, εὐποροῦσι καὶ διάγουσιν ἀνενδεῶς· καὶ γὰρ 5
οὐδὲ δεόμεθα πολλῶν, ἂν μὴ βουλώμεθα τρυφᾶν·

> *ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον,*
> *Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου,*
> *ἅπερ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν;*

λέγω δὲ τούς γε λόγου ἀξίους ἄνδρας οὐ τῶν 10

---

5 *καὶ γὰρ κτέ.* coloris aliquid habent Bionei, cf. Teles p. 40, 9 *ἀρκεῖ γάρ ταῦτα καὶ εἰς τὸ προσηνῶς καὶ εἰς τὸ ὑγιεινῶς, ἐὰν μή τις τρυφᾶν βούληται.* Ps.-Lucianus Cyn. 10 (de rebus venereis disserens) *ῥάδιον θεραπεύειν ταύτην τὴν ἐπιθυμίαν, εἰ μή τις ἐθέλοι τρυφᾶν*   7 Euripidis fr. 892 N.^{2} (ubi vide testimonia) saepe adscivisse Chrysippus a compluribus traditur, sed adscivit, quod in Chrysippo non mirum, praecedentibus Cynicis. testis est Teles qui paulo post Bionis verba illa *ἐὰν μή τις τρυφᾶν βούληται* a Musonio et ipsa adhibita pergit sic p. 41, 3 *τρυφῇ δέ τοι Πολλῶν ἐδεστῶν μηχανὰς θηρεύομεν*   10 ss. Teles p. 15, 5 *ἢ οὐ πολλοῖς ὤφθη τὰ πράγματα κατὰ τὴν τῶν τοιούτων ὕπαρξιν ἐπιφανέστερα γεγονότα φυγάδων γενομένων;*

---

1 *ὅσαι* M^1 | *ἀργοὶ — ἀμήχανοι*] *ι* in utroque vocabulo in ras. M^1 ‖ 4 *γενικοί τε καὶ* L | *ὅπη* M ‖ 6 *βουλόμεθα* LTr. | *τρυφῶν* A^1 corr. cum A^1 tum A^2 ‖ 7 *καίτοι τί δεῖ* Eust. Il. p. 868, 33, *τί γὰρ δέοι* ('i. e. *δέον*' Nauck) Sext. Emp. p. 661, 1 | *δεῖ* om. L | *βροτοῖσι* om. Eust. | *δυεῖν* SL et Gell. N. A. 6, 16, 7 | *μόνων*, *ω* ex *ο* S^1 *μόνων* LM Eust. *μόν^{ω}ον* corr. A^2, *μόνοιν* libri in Stob. flor c. 3 ‖ 8 *δημήτερος* L | *πόματος* S^{1}LM et libri Stob. III 3, 34, *πώματος* corr. S^2 et A | *καὶ πόματος* pro *πώματός θ'* Plut. mor. p. 1043 et 1044 | *π. θ'*] *π. τε* LM *π. τῆς* (?) A^1 | *ὑδρηχίου* L *ὑδροχόου* A ‖ 9 *ἅπερ*] *ἃ δὴ* Sextus Emp. | *τρέφειν πέφυχ' ἡμᾶς* L ‖ 10 *λέγω δὲ* Wyttenbach; *ἐγὼ δὲ* SL *δ' ἐγὼ* MA^1, ante *δ' ἐγὼ* glossema *ϛοβ* (i. e. *στοβαῖος*) addidit M m. rec., *οἶδα δ' ἐγώ* A^2 ex Gesnero opinor, nam *ἐγὼ δὲ — πολλάκις* ⟨*οἶδα*⟩ male Gesn.^{1} p. 240 mrg. potest *ἐγὼ δὲ λέγω* vel *ἐγὼ δ' ἡγοῦμαι* sim., nisi intercidit fortasse ante v. *ἐπεὶ τί δεῖ κτέ.* tale *ἐπεί γε Εὐρι-*

*ἀναγκαιοτάτων μόνον πρὸς τὸν βίον ῥᾳδίως ἂν εὐ-
πορεῖν ἔξω τῆς οἰκείας ὄντας, ἀλλὰ καὶ πολλὰ περι-
ποιήσεσθαι χρήματα πολλάκις. ὁ γοῦν Ὀδυσσεὺς παν-
τὸς φυγάδος ὡς ἄν τις εἴποι ἀθλιώτερον διακείμενος
5 καὶ μόνος ὢν καὶ γυμνὸς καὶ ναυαγός, ὅμως ἀφικό-
μενος εἰς ἀνθρώπους ἀγνῶτας τοὺς Φαίακας ἐδυνήθη
χρηματίσασθαι ἀφθόνως. Θεμιστοκλῆς δ' ἐπεὶ ἔφευ-
γεν οἴκοθεν, οὐ παρὰ μὴ φίλους μόνον, ἀλλὰ καὶ παρὰ
πολεμίους καὶ βαρβάρους ἐλθὼν τοὺς Πέρσας, τρεῖς
10 ἔλαβε πόλεις δῶρον, Μυοῦντα καὶ Μαγνησίαν καὶ
Λάμψακον, ὥστ' ἀπὸ τούτων βιοῦν. Δίων δὲ ὁ Συρα-
κούσιος, ἀφαιρεθεὶς ὑπὸ Διονυσίου τοῦ τυράννου τὴν
οὐσίαν πᾶσαν, ὅτ' ἐξέπιπτε τῆς πατρίδος, οὕτως ἐν τῇ
φυγῇ χρημάτων εὐπόρησεν, ὥστε καὶ ξενικὸν θρέψαι
15 στράτευμα, μεθ' οὗ ἦλθεν ἐπὶ Σικελίαν καὶ ἠλευθέ-
ρωσεν αὐτὴν ἀπὸ τοῦ τυράννου. τίς ἂν οὖν εὖ φρο-
νῶν εἰς ταῦτ' ἀφορῶν, ἔτι τὴν φυγὴν ἀπορίας αἰτίαν*

---

3 cf. Arr. Epict. III 26, 33 5 Hom. ζ 136 *γυμνός περ ἐών* 7 Themistoclis exemplum legitur etiam in Teletis (p. 15, 11) et Plutarchi (p. 602 H) de exilio commentariis, ita tamen ut inter se ipsi, non cum Musonio in singulis conspirent. cf. Thuc. I 138, 5

πίδης φησίν, ut haud ita inepte pergere potuerit *ἐγὼ δὲ* (sc. *φημί*) *τούς γε κτέ.* | *λόγους* L ‖ 1 *μόνον* SL *μόνον ἦν* MA[1] ‖ 2 *οἰκίας* libri: corr. Wendland *Philo und die kynisch-stoische diatr.* p. 12 | *περιποιήσεσθαι* (ex aor. corr. S[1]) SM *π̓ποιῆσθαι* L *περιποιήσασθαι* (ut tacite Gesn.[1]) A ‖ 4 *ἀθλιότερον* M[1], σ super ον scr. m. rec. ‖ 5 *μόνως* operarius Gesn.[3] p. 235 ‖ 6 *τοὺς Φαίακας* circumscribere mavult Meineke | *ἠδυνήθη* A ‖ 7 *ἔφυγεν* A ‖ 8 *οὐ παρὰ μὴ* SMA *καὶ παρὰ* L ‖ 9 *τοὺς Πέρσας* seclusit Meineke ‖ 10 *πόλαις* compend. L ‖ 11 *καὶ* post *δὲ* temere addidit Gesn.[2] | *συρακούσιος* libri; *Συρακόσιος* Meineke ‖ 13 *ὅτ'* SMA *ὥστ'* L | *οὗτος* A[1] ‖ 15 *ἦλθεν*] num *κατῆλθεν*? ‖ 17 *εἰς ταῦτ' ἀφορῶν* S, om. LMA[1], inter lin. add. A[2] exemplari Trincav. adhibito

εἶναι πᾶσι τοῖς φεύγουσιν ὑπολαμβάνοι; ἀλλ' οὐδὲ κακοδοξεῖν πάντως ἀνάγκη τοὺς φυγόντας διὰ τὴν φυγήν, γνωρίμου γε πᾶσιν ὄντος, ὅτι καὶ δίκαι πολλαὶ δικάζονται κακῶς, καὶ ἐκβάλλονται πολλοὶ τῆς πατρίδος ἀδίκως, καὶ ὅτι ἤδη τινὲς ἄνδρες ἀγαθοὶ ὄντες 5 *ἐξηλάθησαν ὑπὸ τῶν πολιτῶν· ὥσπερ Ἀθήνηθεν μὲν Ἀριστείδης ὁ δίκαιος, ἐξ Ἐφέσου δὲ Ἑρμόδωρος, ἐφ' ᾧ καὶ Ἡράκλειτος ὅτι ἔφυγεν ἡβηδὸν ἐκέλευεν Ἐφεσίους ἀπάγξασθαι. ἔνιοι δέ γε καὶ ἐνδοξότατοι φεύγοντες ἐγένοντο, καθάπερ Διογένης ὁ Σινωπεὺς καὶ* 10 *Κλέαρχος ὁ Λακεδαιμόνιος ὁ μετὰ Κύρου στρατεύσας ἐπ' Ἀρταξέρξην· καὶ ἄλλους ⟨δ'⟩ ἄν τις ἔχοι βουλόμενος λέγειν πολλούς. καίτοι πῶς ἂν εἴη τοῦτο κακοδοξίας αἴτιον, ἐν ᾧ τινες ἐνδοξότεροι γεγόνασιν, ἢ πρότερον ἦσαν;* 15

---

2 *et exilium saepe contemptione omni carere* dicit Seneca dial. XII 13, 8, *multis fortissimis atque optimis viris iniustis iudiciis tales casus incidisse* Cicero ad P. Sittium exulem scribens ep. V 17 **7** Aristidis et Hermodori exempla iuxta posita etsi inverso ordine adfert etiam Cicero Tusc. disp. V 36, 105, ut librum quo Musonius usus est cognatum fuisse appareat ei quem M. Tullius expilaverat. vidit hoc A. Giesecke de exilio diss. p. 55 s. sed de Bione, ut mihi quidem videtur, non recte cogitans ‖ **8** *Ἡράκλειτος*] vide Bywater ad Heracl. fr. CXIV p. 44 sq. **11** Clearchus, cum neque apud Plutarchum neque in aliis de exilio commentariis commemoretur, Musonii ipsius memoriae deberi videtur Gieseckeo l. c. p. 51, non accedo

---

3 *γε* LA[2] *τε* S *τὲ* M | *πολλοὶ* A[1] ‖ **6** *ἐξελάθησαν* M ‖ **8** *ὅτι ἔφυγεν* resecari iubet Cobet mnemos. IX p. 124 | *ἐκέλευσεν* A | *ἐφεσίοισ* M ‖ **9** *ἀπάγξασθαι* L, Tr. p. 198, *ἐπάγξασθαι* SM *ἐπ(α)άγξασθαι* dupl. corr. A, sed A[1] videtur fuisse *ἐτ' ἀπάγξασθαι* ‖ **11** *ξέρξου* (*κύρου*) S, corr. S[2] ‖ **12** *δ'* addidi, cf. p. 55, 9 | *ἄν τις ἄλλους* L

Νὴ Δί' ἀλλ' Εὐριπίδης φησὶν ἐλευθερίας στέρεσθαι τοὺς φυγάδας, ἐπεὶ καὶ παρρησίας. πεποίηκε γὰρ τὴν μὲν Ἰοκάστην πυνθανομένην Πολυνείκους τοῦ υἱέος, τίνα δυσχερῆ τῷ φεύγοντί ἐστιν· ὁ δ' ἀποκρίνε-
5 *ται ὅτι*

> *ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν,*

ἡ δ' αὖ πρὸς αὐτὸν

> *δούλου τόδ' εἶπας, μὴ λέγειν ἃ τις φρονεῖ.*

ἐγὼ δὲ φαίην ἂν πρὸς τὸν Εὐριπίδην ὅτι, ὦ Εὐρι-
10 *πίδη, τοῦτο μὲν ὀρθῶς ὑπολαμβάνεις, ὡς δούλου ἐστίν, ἃ φρονεῖ μὴ λέγειν, ὅταν γε δέῃ λέγειν· οὐ γὰρ ἀεὶ καὶ πανταχοῦ καὶ πρὸς ὀντινοῦν λεκτέον ἃ φρονοῦμεν. ἐκεῖνο δὲ οὔ μοι δοκεῖς εὖ εἰρηκέναι, τὸ μὴ μετεῖναι τοῖς φεύγουσι παρρησίας, εἴπερ παρρησία σοι δοκεῖ*
15 *τὸ μὴ σιγᾶν ἃ φρονῶν τυγχάνει τις. οὐ γὰρ οἱ φεύγοντες ὀκνοῦσι λέγειν ἃ φρονοῦσιν, ἀλλ' οἱ δεδιότες μὴ ἐκ τοῦ εἰπεῖν γένηται αὐτοῖς πόνος ἢ θάνατος ἢ ζημία ἤ τι τοιοῦτον ἕτερον. τοῦτο δὲ τὸ δέος μὰ Δία οὐχ ἡ φυγὴ ποιεῖ. πολλοῖς γὰρ ὑπάρχει καὶ τῶν ἐν*
20 *τῇ πατρίδι ὄντων, μᾶλλον δὲ τοῖς πλείστοις, τὰ δοκοῦντα δεινὰ δεδιέναι. ὁ δὲ ἀνδρεῖος οὐδὲν ἧττον φυγὰς ὢν ἤπερ οἴκοι θαρρεῖ πρὸς ἅπαντα τὰ τοιαῦτα,*

---

1 *Εὐριπ.*] Phoen. 391 sq. eosdem versus impugnat Plutarchus de exilio p. 605 F sq.

---

1 *νὴ δί'* SA *'Ενὴ* (sed E rubr.) *Δία* L *νηδῖα* M | *εὐροπ-πίδησ* M ‖ 4 *υἱέος* SLMA; *υἱέως* Tr. | *τίνα — ἐστιν*] *τί φυγάσιν τὸ δυσχερές;* Eur. ‖ 6 *μὲν* om. L ‖ 9 *εὐριπι* (*δ'* supra) utrobique L ‖ 10 *μὲν* supra lin. A[2] | *ὡς*] *ὅτι* A ‖ 12 *ὄντινα οὖν* L ‖ 13 *εὖ εἰρηκέναι* (ut ci. Gesn.[1] p. 242 mrg.) L *εἰρηκέναι* S *εὑρηκέναι* M *εὑρ.* vel *εὑρηκέναι* A[1] *εὖ εἰρηκέναι* (inserto *εἰ*) A[2] ‖ 14 *σοι* supra lin. A, fortasse A[2] ‖ 15 *τυγχάνοι* A ‖ 19 *πολλοῦ* M

διὸ καὶ λέγει ἃ φρονεῖ θαρρῶν οὐδὲν μᾶλλον ἢ ὅταν
ᾖ μὴ φυγάς, ὅταν φεύγων τύχῃ. ταῦτα μὲν πρὸς
Εὐριπίδην εἴποι τις ἄν· σὺ δ' εἰπέ μοι, ὦ ἑταῖρε, ὅτε
Διογένης φεύγων ἦν Ἀθήνησιν, ἢ ὅτε πραθεὶς ὑπὸ
τῶν λῃστῶν ἦλθεν εἰς Κόρινθον, ἆρα τότε πλείω παρ- 5
ρησίαν ἄλλος τις ἐπεδείξατο Διογένους ἢ Ἀθηναῖος ἢ
Κορίνθιος; τί δ'; ἐλευθεριώτερος ἄλλος τις ἢ Διο-
γένης τῶν τότε ἀνθρώπων ἦν; ὃς καὶ Ξενιάδου τοῦ
πριαμένου αὐτὸν ὡς δεσπότης δούλου ἦρχεν. καὶ τί
δεῖ τὰ παλαιὰ λέγειν; ἀλλ' ἐγώ σοι οὐ δοκῶ εἶναι 10
φυγάς; ἆρ' οὖν ἐστέρημαι παρρησίας; ἆρα ἀφῄρημαι
τὴν ἐξουσίαν τοῦ ἃ φρονῶ λέγειν; ἤδη δέ με εἶδες ἢ
σὺ ἢ ἕτερος ὑποπτήσσοντά τῳ ὅτι φεύγω; ἢ χεῖρον
ἔχειν τὰ πράγματα νομίζοντα νῦν ἢ πρότερον; ἀλλ'
οὐδὲ μὰ Δία λυπούμενον ἢ ἀθυμοῦντα διὰ τὴν φυγὴν 15

---

4 *πραθεὶς ὑπὸ τῶν λῃστῶν κτέ.*] testimonia collegi mus. Rh. XLVII p. 232. conferatur inprimis Diog. Laert. VI 30 (*Μένιππος ἐν τῇ Διογένους πράσει* commemoratur 29) *ἔλεγε* (sc. *Διογένης*) *τῷ Ξενιάδῃ τῷ πριαμένῳ αὐτόν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη*. Arr. Epict. diss. IV 1, 116 5 ss. cf. Arr. Epict. diss. IV 1, 157 9 s. formulam *καὶ τί δεῖ τὰ παλαιὰ λ.*; qua iam Thucydides utitur (I 73, 2) illustravimus mus. Rh. l. c. p. 222 12 ss. Iulianus epist. ad Themistium p. 343, 22 Hertl. *Μουσώνιος ἐξ ὧν ἔπαθεν ἀνδρείως καὶ νὴ Δί' ἤνεγκεν ἐγκρατῶς τὴν τῶν τυράννων ὠμότητα γέγονε γνώριμος κτέ.* cf. Lucianus de morte Peregr. c. 18

---

1 *μᾶλλον ἢ ὅταν* (*ὅτ' ἂν* S) *ᾖ* (*ἡ* M) *μὴ φυγὰς ὅταν φεύγων τύχῃ* (vel *-χη*) SLM(A[1]): *ἢ* particulam post *μᾶλλον* erasit postque *φυγὰς* traiecit A[2]; *ἧττον* pro *μᾶλλον* ci. Gesn.[1] mrg. ‖ 3 *με* pro *μοι* operarius Gesn.[2] p. 236 ‖ 5 *παρρησίαν πλείω* A ‖
δ
6 *τισ* A *σ* del. al. man. ‖ 8 *ξενια* sed *δ* cum compendio quod *-ους* dubitanter interpretetur Vitelli L ‖ 9 *πριάμου* L ‖ 10 *πολλὰ* Tr. ‖ 13 *ὑποπάσσοντα* L | *τὼ* S *τω* L *τὼ* M *τὸ* A | post *ὅτι*
ει
ὅτι μοι η
rasura duarum fere litt. A | *ἢ χεῖρον ἔχειν* SLM *ἢ χεῖρον ἐχ* A, *ὅτι μοι* et *ει* superscr. A[2] ‖ 14 *τὸ πρᾶγμα* primitus L

φαίης ἂν ἑωρακέναι με. καὶ γὰρ εἰ τὴν πατρίδα τις [ἡμᾶς] ἀφῄρηται, τό γε δύνασθαι φέρειν φυγὴν οὐκ ἀφῄρηται.

Οἷς δὲ λογισμοῖς χρῶμαι πρὸς ἐμαυτόν, ὥστε μὴ
5 ἄχθεσθαι τῇ φυγῇ, τούτους καὶ πρὸς σὲ εἴποιμι ἄν. δοκεῖ μοι ἡ φυγὴ στερίσκειν μὲν ἄνθρωπον οὐ πάντως οὐδ' ὧν οἱ πολλοὶ νομίζουσιν ἀγαθῶν, καθάπερ ἄρτι ἐδείκνυον. εἰ δ' οὖν καὶ στερίσκοι ἤ τινὸς ἢ πάντων τούτων, τῶν γε ἀληθῶς ἀγαθῶν οὐ στερίσκει·
10 οὔτε γὰρ ἀνδρείαν ἢ δικαιοσύνην ὁ φεύγων ἔχειν κωλύεται, διὸ φεύγει, οὔτε σωφροσύνην ἢ φρόνησιν, οὐδ' αὖ ἀρετὴν ἄλλην ἡντινοῦν, αἳ παροῦσαί τε κοσμεῖν καὶ ὠφελεῖν πεφύκασι τὸν ἄνθρωπον καὶ ἐπαινετὸν ἀποφαίνειν καὶ εὐκλεῆ, ἀποῦσαί τε βλάπτειν καὶ κατ-
15 αισχύνειν κακὸν ἀποφαίνουσαι καὶ ἀκλεῆ. τούτων δὲ ταύτῃ ἐχόντων, εἰ μὲν ἀγαθὸς εἶ οὗτος καὶ τὰς ἀρετὰς ἔχεις, οὐκ ἄν σε βλάπτοι ἡ φυγὴ οὐδ' ἂν ταπεινοίη, παρόντων γε τῶν ὠφελεῖν καὶ ἐπαίρειν μάλιστα

---

6 ss. cf. Stilpo ap. Teletem p. 14, 8 ss. *τίνων ἡ φυγὴ ⟨ἢ⟩ ποίων ἀγαθῶν στερίσκει . . . ἀλλὰ μὴ ἀνδρείας ἢ δικαιοσύνης ἢ ἄλλης τινὸς ἀρετῆς*; M. Brutus ap. Sen. dial. XII 8, 1 *licet in exilium euntibus virtutes suas secum ferre*

---

2 *ἡμᾶς* seclusi cf. p. 49, 11 | *τότε* L ‖ **5** *τῇ φυγῇ* om. S | *εἴποιμι* S *εἴποιμι ἂν* L *εἴποιμι. ὧν* MA[1], *εἴποιμ' ἄν. Οὐ* A ex em. ‖ **6** *ἄνθρωπον* scripsi: *ἀνων* sive *ἀνθρώπων* SLMA; *ἀνθρώπους* Gesn.[1] p. 242 | *πάντων* oscitanter Gesn.[1] ‖ **7** *ὧν*] *οὖν* M ‖ **8** *ἀπεδείκνυον* L | *στερίσκει* A ‖ **10** *ἀνδρίαν* A | *δϊκαιοσύνην*, sed *ϊ* ex *η* L ‖ **11** *φεύγει*, sed *ει* ex *ο* M[1] | *ἢ φρόνησιν*] *ἢ* ex *οὐ* S[1] | *οὐδ' αὖ* LMA: *οὐδ'* S ‖ **14** *εὐκλεῆ* (ut tacite scripsit Gesn.[1]) L *εὐκλεινῆ* SMA[1] | *ἀπούσάσ* M ‖ **15** *τούτων δὲ* suppl. A[2], primaria scriptura ex parte evanuit ‖ **16** *οὗτος* libri nisi quod *ὦ οὗτος* A; *αὐτὸς* temere Gesn.[1] ‖ **17** *βλάπτοι* (ut correxerat Halm lect. Stob. p. 5) LM: *βλάπτῃ* SA | *ταπεινώῃ* (vel *-φῇ*) SLMA[1]: corr. Halm ‖ **18** *παρόντος γε τοῦ — δυναμένου* Tr.

δυναμένων· εἰ δὲ τυγχάνεις κακὸς ὤν, ἡ κακία σε βλάπτει καὶ οὐχ ἡ φυγή· καὶ τήν γε λύπην ἡ κακία σοι ἐπάγει, οὐχ ἡ φυγή· διὸ ταύτης ἀπολυθῆναι δεῖ σε σπεύδειν μᾶλλον ἢ τῆς φυγῆς. ταῦτα καὶ πρὸς ἐμαυτὸν ἔλεγον ἀεὶ καὶ πρὸς σὲ λέγω νῦν. σὺ δ', ἂν 5 *σωφρονῇς, οὐ τὴν φυγὴν δεινὸν ἡγήσῃ εἶναι, ἥν γε φέρουσιν ἕτεροι εὐπετῶς, τὴν δὲ κακίαν ἧς ἐνούσης ἄθλιος πᾶς ὅστις ἂν ἔχῃ αὐτήν. καὶ γὰρ δὴ δυοῖν ἀνάγκη τὸ ἕτερον, ἢ ἀδίκως ἢ δικαίως σε φεύγειν· εἰ μὲν δὴ δικαίως, πῶς ποτε ὀρθὸν ἢ προσῆκον ἄχθε-* 10 *σθαι τοῖς δικαίοις; εἰ δ' ἀδίκως, τῶν ἐξελασάντων τοῦτ' ἂν εἴη κακόν, οὐχ ἡμέτερον· εἴπερ νὴ Δία τὸ μὲν ἀδικεῖν θεομισέστατόν ἐστιν, ὅπερ [ἐν] ἐκείνοις συμβέβηκε· τὸ δ' ἀδικεῖσθαι, ὅπερ συμβέβηκεν ἡμῖν, καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς ἐπιεικέσιν* 15 *ἐπικουρίας, ἀλλ' οὐχὶ μίσους ἄξιον εἶναι ὑπείληπται.*

---

1 ss. cf. Teles p. 5, 9 ss. **12** ss. cf. Musonius supra p. 11, 7 et quae disputantur p. 52 ss.

---

5 *πρὸς σὲ λέγω νῦν* LM¹A: *νῦν πρὸς σὲ λέγω* S ‖ **6** *οὐ* LATr. ·/·ᾶν (sic) S *ἂν* M ‖ **7** *εὐπετῶς ἕτεροι* L ‖ **8** *ἔχῃ* LA: *ἔχει* SM; *ἔχοι* Tr. | *δὴ* ante *δυοῖν* om. Tr. ‖ **11** *ἐξελασάντων* SLM *ἐξελευσάντων* A[1] corr. m.[2] praeter alius m. correctionem; *ἐλασάντων* Tr. ‖ **13** *ἐν ἐκείνοις* libri, nisi quod *ἐν* abiecit A[2] ‖ **14** *τὸ*] *τοῦ* M ‖ **15** *παρ'* om. L | *ἐπικουρίας* SLMA; *ἐπιμελείας* Tr.

X.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΕΙ ΓΡΑΦΗΝ ΥΒΡΕΩΣ ΓΡΑΨΕΤΑΙ ΤΙΝΑ Ο ΦΙΛΟΣΟΦΟΣ.

5 Ὕβρεως δὲ γραφὴν οὔτ' ἂν αὐτὸς ἔφη γράψασθαί τινά ποτε οὔτ' ἂν ἑτέρῳ συμβουλεῦσαι οὐδενὶ τῶν φιλοσοφεῖν ἀξιούντων. ἃ γὰρ πάσχοντές τινες ὑβρίζεσθαι δοκοῦσιν, τούτων οὐδὲν εἶναι ὕβριν ἢ αἰσχύνην τοῖς πάσχουσιν· οἷον λοιδορηθῆναι ἢ πληγῆναι ἢ ἐμ-
10 πτυσθῆναι, ὧν τὸ χαλεπώτατον πληγαί. ὡς δὲ οὔτε αἰσχρὸν οὔτε ὑβριστικὸν ἔχουσιν οὐδέν, δηλοῦν Λακεδαιμονίων παῖδας δημοσίᾳ μαστιγουμένους καὶ ἐπ'

---

1 conferatur Arr. Epict. diss. I 28 quod caput inscribitur *Ὅτι οὐ δεῖ χαλεπαίνειν ἀνθρώποις καὶ τίνα τὰ μικρὰ καὶ μεγάλα ἐν ἀνθρώποις.* Musonium fortasse respici ab Iuvenale sat. 13, 181 ss. opinatur Friedlaender praef. Iuven. p. 38
9 Seneca de const. sap. 2, 1 *quod* . . . (M. Cato) *voces improbas et sputa et omnis alias insanae multitudinis contumelias pertulisset* comparat O. Rossbach, cui videntur Seneca et Musonius eodem auctore usi esse **10** ss. cf. Arr. Epict. diss. I 2, 2.

---

1 Stobaeus III 19, 16 H. ecl. cum lemm. hab. SMABr, sed pro lemm. *μουσωνίου* nihil amplius SBr. maximam quidem partem affert Br in eis quae corollarii instar addidit sub finem excerptorum f. 66^r–v^, mediam tantum (*Φωκίων δὲ* p. 55, 2 — *ἀπολογεῖσθαι* p. 55, 9) f. 38^r^. *μουσωνίου ἐκ τοῦ εἰ γραφὴν ὕβρεως γράψαι δέ τινα ὁ φιλόσοφος* MA[1], *γράψεται* pro *γράψαι δέ* A nescio qua manu ‖ **5** *γράψεσθαι* S ‖ **6** *ἑτέρῳ* ex *ἑτέρων* corr. A[1] | *οὐδενὶ* Br idque tacite scripserat Gesn.[1] p. 152: *οὐδὲν* SM[d]A[1] ‖ **9** *γελασθῆναι* (pro *πληγῆναι*) sed *σθ* in ras. Br[1] | *ἢ* ante *ἐμπτ.* addit Br, A sed hic supra lin. man. dub.: om. SM[d]Tr. ‖ **10** *πληγαί* Otto Rossbach *Bresl. philol. abh.* II 3 p 139 adn. 5: *πληγή* libri

αὐτῷ τούτῳ ἀγαλλομένους. ὁ δὲ φιλόσοφος εἰ μὴ
δύναιτο καταφρονεῖν πληγῶν ἢ λοιδορίας, τί ἂν ὄφε-
λος αὐτοῦ εἴη, ὅν γε φαίνεσθαι δεῖ καὶ θανάτου κατα-
φρονοῦντα; 'νὴ Δία, ἀλλ' ἡ διάνοια τοῦ δρῶντος αὐτὰ
δεινή, τὸ ἐπεγγελῶντα καὶ ὑβρίζειν νομίζοντα ῥαπίσαι 5
ἢ λοιδορῆσαι ἤ τι τοιοῦτον ποιῆσαι· Δημοσθένης γοῦν
καὶ τῷ βλέμματι ὑβρίζειν τινάς, καὶ ἀφόρητα εἶναι τὰ
τοιαῦτα, καὶ ἐξίστασθαι τοὺς ἀνθρώπους ὑπ' αὐτῶν
ταύτῃ ἢ ἐκείνῃ οἴεται.' ταῦτα δὲ οἱ μὲν τὸ καλὸν καὶ
τὸ αἰσχρὸν ὅ τι τῇ ἀληθείᾳ ἐστὶν ἀγνοοῦντες καὶ πρὸς 10
τὴν δόξαν κεχηνότες, καὶ αὐτοὶ ὑβρίζεσθαι νομίζουσιν,
εἴ τις ἢ προσβλέποι αὐτοὺς πικρότερον ἢ καταγελῴη
αὐτῶν ἢ πλήττοι ἢ λοιδοροίη. ἀνὴρ δὲ εὖ φρονῶν

---

1 cf. Diogenes Luciani vit. auct. c. 9 *ἢν μαστιγοῖ δέ τις ἢ στρεβλοῖ, τούτων οὐδὲν ἀνιαρὸν ἡγήσῃ.* Arr. Epict. diss. III 12, 10
6 Dem. or. XXI 72 p. 537 *πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύπτων, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν ὁ παθὼν ἔνια οὐδ' ἂν ἀπαγγεῖλαι δύναιθ' ἑτέρῳ, τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ, ὅταν ὡς ὑβρίζων, ὅταν ὡς ἐχθρὸς ὑπάρχων, ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης. ταῦτα κινεῖ, ταῦτ' ἐξίστησιν ἀνθρώπους αὑτῶν, ἀήθεις ὄντας τοῦ προπηλακίζεσθαι* 13 Seneca ep. 71, 7 *quisquis volet, tibi contumeliam faciat et iniuriam, tu tamen nihil patieris, si modo tecum erit virtus*

---

1 *εἰ* M[d] Br: *ἢν εἰ* S *ἢ εἰ* A, illud del. A[2] ‖ **3** *αὐτῷ* sed *ῷ* in ras. corr. B[1] ‖ **4** *ἀλλ' ἡ διάνοια* om. Tr. p. 124 ‖ **5** *δεινὴ* M[d] A Br: *δεῖν ἢ* S; *δεῖ ἢ* Gesn.[1] | *τὸ* corr. ex *τῷ* S | *ἐπαγγελῶντα* M[d] | *καὶ* SM[d]A: *ἢ* Br; om. Gesn.[1] ‖ **6** *τοιοῦτο* S ‖ **9** *ταύτῃ κτέ.*] vide ad 11 ‖ **11** post *κεχηνότες* habent *ταύτῃ* (*ταύτῇ* Br) *ἢ ἐκείνῃ οἴεται* (*οἴονται* Br) SM[d]ABr quae ex margine irrepsisse intellexit qui punctis damnavit in A. v. *οἴεται* postquam ego animadverti ad prius potius enuntiatum *Δημοσθένης κτέ.* pertinere, etiam *ταύτῃ ἢ ἐκ.* illuc (9) retraxit Buecheler, nunc ut patefiat erroris origo: aberraverat librarius a *ταύτῃ* . . . ad *ταῦτα*, itaque quae omiserat adiecit in margine. ad *οἱ μὲν* . . . *κεχηνότες* subaudi *οἴονται* ‖ **12** (ante *προσβλ.*) *ἢ* ex *εἰ* corr. A *ἢ* Br et sic tacite Gesn.[1] p. 152: *εἰ* SM[d] | *προβλέποι* M[d] ‖ **13** *λοιδορεῖ* sed *ει* in *οι* corr. A ubi praeterea *οιη* addidit man. dub.

καὶ νοῦν ἔχων, οἷον εἶναι δεῖ τὸν φιλόσοφον, ὑπὸ οὐδενὸς τούτων ταράττεται, οὐδ' οἴεται τὸ πάσχειν αὐτὰ αἰσχρόν, ἀλλὰ τὸ ποιεῖν μᾶλλον· ἐπεὶ τί καὶ ὁ πάσχων ἁμαρτάνει; ὁ δὲ ἁμαρτάνων εὐθὺς καὶ ἐν
5 αἰσχύνῃ ἐστίν, ὁ μέντοι πάσχων ὡς οὖν οὐχ ἁμαρτάνει καθόσον πάσχει, οὕτως οὐδὲ ἐν αἰσχρῷ οὐδενὶ γίνεται. ὅθεν οὐδ' ἐπὶ δίκας οὐδ' ἐπ' ἐγκλήματα προέλθοι ἂν ὁ νοῦν ἔχων, ἐπείπερ οὐδ' ὑβρίσθαι ἂν δόξειεν· καὶ γὰρ μικρόψυχον τὸ ἀγανακτεῖν ἢ ἐπιτείνεσθαι περὶ
10 τῶν τοιούτων· πρᾴως δὲ καὶ ἡσύχως οἴσει τὸ συμβάν, ἐπεὶ καὶ πρέπον τοῦτο τῷ βουλομένῳ εἶναι μεγαλόφρονι. Σωκράτης γοῦν οὕτω διακείμενος φανερὸς ἦν, ὃς δημοσίᾳ λοιδορηθεὶς ὑπ' Ἀριστοφάνους, οὐχ ὅπως ἠγανάκτησεν, ἀλλὰ καὶ ἐντυχὼν ἠξίου αὐτὸν εἰ καὶ
15 πρὸς ἄλλο τι τοιοῦτον βούλοιτο χρῆσθαι αὐτῷ. ταχύ

---

3 τὸ μὲν ἀδικεῖν τοῦ ἀδικεῖσθαι χεῖρον νομίζειν inculcatur supra p. 11, 7. cf. Plat. Crit. p. 49 B Arr. diss. Epict. IV 5, 10. de Phocione commonet Peerlkamp quem dixisse narrat Aelianus v. h. II 16 βούλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν κακὸν αὐτὸς ἢ αὐτός τι ὑμᾶς κακῶς δρᾶσαι **13** cf. Plut. de lib. educ. p. 10 C Sen. dial. II 18, 5 VII 27, 2 Ael. v. h. V 8 ‖ **14** εἰ καὶ πρὸς ἄλλο τι κτέ.] cf. Ps.-Plutarchus περὶ ἀσκήσεως mus. Rh. XXVII p. 528

---

1 ὑπ' Br ‖ **3** ἐπεὶ τί Buecheler: ἐπεί τι SM[d]Br ἐπεί τοι A; ἐπειδὴ Gesn.[1] p. 152 ‖ **4** ὁ δὲ ἁμαρτάνων — **5** ἁμαρτάνει suppl. A manu antiqua, fortasse prima in margine v. λείπει praemisso | ὁ δὲ SM[d]ABr; ὁ μὲν Gesn.[1] ‖ **5** ὁ μέντοι SM[d]Br: ὁ δέ τι A; ὁ δὲ Gesn.[1] | ὡς οὖν scripsi: ὅσον SM[d] ὥσπερ ABr | οὐκ Br ‖ **6** καθόσον πάσχει libri nisi quod οὐ compendiose superscr. A[2] | οὐδ' recte A ‖ **7** προέλθοι Br idque coniecerat Meineke: προσέλθοι SM[d]A; εἰσέλθοι Tr. p. 125 ‖ **12** Σωκράτης δημοσίᾳ — **15** χρῆσθαι αὐτῷ legitur in gnomol. Par. 281 Sternb. ‖ **13** ὃς SM[d]ABr: ὅς γε ex em. A[2], inde Gaisford et Meineke | οὐχ ὅπως οὐκ ἠγανάκτησεν gnomol. Par. ‖ **14** καὶ (post ἀλλὰ) om. A ‖ **15** ἐντυχὼν αὐτῷ ἠξίου, εἰ καὶ πρὸς ἄλλο τι βούλοιτο τοιοῦτον χρῆσθαι αὐτῷ gnomol. Par. | post αὐτῷ habet ἐν ἤθει ἀνα-

γ' ἂν ἐκεῖνος ἐν ὀλίγοις λοιδορούμενος ἐχαλέπηνεν, ὅς οὐδὲ ἐν θεάτρῳ λοιδορηθεὶς ἠγανάκτει. Φωκίων δὲ ὁ χρηστός, τῆς γυναικὸς αὐτοῦ προπηλακισθείσης πρός τινος, τοσοῦτον ἐδέησεν ἐγκαλεῖν τῷ προπηλακίσαντι, ὥστε ἐπεὶ δείσας ἐκεῖνος προσῆλθέ τε καὶ συγγνώμην ἔχειν ἠξίου τὸν Φωκίωνα, φάσκων ἠγνοηκέναι ὅτι ἦν ἐκείνου γυνή, εἰς ἣν ἐπλημμέλει· 'ἀλλὰ ἥ γε ἐμὴ γυνὴ οὐδέν' ἔφη 'ὑπὸ σοῦ πέπονθεν, ἑτέρα δέ τις ἴσως· ὥστε οὐδὲ χρὴ ἐμοὶ σὲ ἀπολογεῖσθαι'. καὶ ἄλλους δὲ πολλοὺς ἄνδρας ἔχοιμ' ἂν λέγειν πειραθέντας ὕβρεως, τοὺς μὲν ἔκ τινων γλώσσῃ πλημμεληθέντας, τοὺς δὲ χερσὶν ὥστε αἰκισθῆναι τὸ σῶμα· καὶ οὔτε ἀμυνάμενοι φαίνονται τοὺς πλημμελήσαντας, οὔτε ἄλλον τρόπον ἐπεξελθόντες, ἀλλὰ πάνυ πρᾴως ἐνεγκόντες τὴν ἀδικίαν αὐτῶν. καὶ γὰρ δὴ τὸ μὲν σκοπεῖν, ὅπως ἀντι- 15

---

2 hanc ipsam, ut videtur, de Phocione narratiunculam respexerit Marcus Antoninus XI 13, vide quae monuit G. Heilbut mus. Rh. XXXIX p. 310 **15** ss. cf. Pittacus Stobaei III 19, 15 H. *συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους.* Arr. Epict. diss. II 10, 14 Seneca de ira III 27, 1 Philodemus anth. Pal. V 107 (Phil. Gad. epigr. p. XII

γνωστέον A^1 sed postmodo expunctum utpote scholium; *ἐν ἤθει* etiam Br in margine man. dub. *ἠθικῶς ἀναγ<ν>ωστέον* in marg. Macarius Chrys. ‖ **1** *γὰρ* pro *γ' ἂν* M^d | *ἐν ὀλίγοις* om. M^d Br ‖ **2** de Phocione historiola recurrit gnomol. Par. 280 Sternb. | *δὲ ὁ χρηστός* om. gnomol. Par. ‖ **3** *πρός τινος* om. gnomol. Par. ‖ **5** *ἐπεὶ δείσας* libri nisi quod *ἐπιδείσας* S *ἐπειδὴ δείσας* gnomol. Par. | *ἐκεῖνο* M^d ‖ **6** *Φωκίονα* M^d ‖ **7** *'ἀλλ' ἥ γε ἐμὴ γυνὴ' Φωκίων εἶπεν 'οὐδὲν ὑπὸ σοῦ' κτἑ.* gnomol. Par. ‖ **9** *οὐδ' ἐμοὶ καλόν ἐστί σε ἀπάγειν εἰς τὸ δικαστήριον* gnomol. Par. inepte | *ἐμέ* A^1 *ἐμοί* A^2 | *γε* pro *σὲ* Tr. p. 125 ‖ **10** *πολλοὺς* Hirschig misc. philol. (Tr. ad Rh. a. 1849) p. 188: *παλαιοὺς* libri ‖ **11** *ἒν* (sic) ex *ἒκ* corr. A | *τινος* pro *τινων* Br ‖ **12** *ἀμυνάμενοι* (*ἀμυνόμενοι* sed prius *ο* in ras. Br^1) *φαίνονται* SM^{d}ABr; *ἀμυναμένους φανῆναι* temere Gesn.^{2} qui mox *ἐξελθόντας* (*ἐξελθόντες* Tr.) et *ἐνεγκόντας* ‖ **15** *ἀντιδήξεται* SM^{d}Br, ex em. A^2; *ἀντιδήξηται* Tr.

δήξεταί τις τὸν δακόντα, καὶ ἀντιποιήσει κακῶς τὸν ὑπάρξαντα, θηρίου τινὸς οὐκ ἀνθρώπου ἐστίν, ὡς οὐδὲ τοῦτο λογίσασθαι δύναται, ὅτι τὰ πολλὰ τῶν ἁμαρτανομένων ὑπ' ἀγνοίας τε καὶ ἀμαθίας τοῖς ἀν-
5 θρώποις ἁμαρτάνεται, ὧν ὁ μεταδιδαχθεὶς εὐθὺς παύεται· τὸ δὲ δέχεσθαι τὰς ἁμαρτίας μὴ ἀγρίως, μηδὲ ἀνήκεστον εἶναι τοῖς πλημμελήσασιν, ἀλλ' αἴτιον εἶναι αὐτοῖς ἐλπίδος χρηστῆς, ἡμέρου τρόπου καὶ φιλανθρώπου ἐστίν. πόσῳ δὴ κρεῖττον οὕτως ἔχοντα φαίνεσθαι
10 τὸν φιλόσοφον, ὥστε συγγνώμης ἀξιοῦν εἴ τις πλημμελήσειεν εἰς αὐτόν, ἢ δοκεῖν μὲν ἀμύνειν ἑαυτῷ δικαζόμενον καὶ ἐγκαλοῦντα, τῇ δὲ ἀληθείᾳ ἀσχημονεῖν, ἀνακόλουθα τοῖς ἑαυτοῦ λόγοις πράττοντα; εἴ γε λέγει μέν, ὡς οὐκ ἂν ἀδικηθείη ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ὑπὸ

Kaib.) τόν με δακόντα δακεῖν. cf. Aristonymus Stobaei III 4, 105 p. 245, 5 H. **2** cf. Arr. Epict. diss. IV 1, 120. 5, 10 **3** Arr. Epict. diss. I 26, 6 τί οὖν ἐστι τὸ αἴτιον τοῦ ἁμαρτάνειν με; ἡ ἄγνοια. Sen. de ira I 14 **8** s. cf. Sen. de ira I 14, 3 *quanto humanius mitem et patrium animum praestare peccantibus et illos non persequi, sed revocare* **10** συγγνώμης ἀξιοῦν] cf. Arr. Epict. II 22, 36 IV 1, 147 **13** s. Sen. de const. sap. 2, 4 *tutus est sapiens nec ulla affici aut iniuria aut contumelia potest* epist. 71, 7 al.

---

1 δακόντα tacite Welcker Theogn. p. LXXXV: δάκνοντα libri | ἀντιποιήσει Br, ex em. A²: ἀντιποιήσῃ SMᵈA ‖ **2** ὑπάρξοντα S | θηρίων Tr. | ὡς scripsi: ὃς libri ‖ **3** τὰ om. Br ‖ **4** ὑπὸ MᵈBr ‖ **7** ἀνήκεστον SMᵈABr; ἀνήμεστον Tr. quo abductus ἀνήμερον scr. Gesn.¹ p. 152 | πλημμελήμασιν A | ἀλλ' αἴτιον εἶναι Buecheler: ἀλλά τι μὲν εἶναι SMᵈA ἀλλά τι νέμειν Br quod commendabat Beving *remarques crit.* p. 21 ‖ **9** πόσῳ δὴ usque ad fin. om. Br | δή sed η ex ε corr. S¹ δὴ MᵈA quod recepi coll. p. 31, 3: δὲ Tr. ‖ **11** μὲν SMᵈ: μὴ A | δικαζόμενον et **13** λόγοις] litteras ex parte evanidas refecit S m. rec. ‖ **12** ἀληθείᾳ MᵈA: ἀληθείῃ S | ἀσχημονεῖν] ἀσχημον in ras. scr. m. ni fallor rec. S ‖ **13** εἴ τε Mᵈ ‖ **14** ὁ om. operarius Gesn.² | ἀνὴρ SA: ἄνθρωπος Mᵈ

κακοῦ ἀνδρός· ἐγκαλεῖ δ' ὡς ἀδικούμενος ὑπὸ ἀνθρώπων πονηρῶν αὐτὸς ἀξιῶν ἀγαθὸς εἶναι.

XI.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΤΙΣ Ο ΦΙΛΟΣΟΦΩΙ ΠΡΟΣΗΚΩΝ ΠΟΡΟΣ. 5

Ἔστι καὶ ἕτερος πόρος οὐδὲν τούτου κακίων, τάχα δὲ καὶ ἀμείνων νομισθεὶς ἂν οὐκ ἀλόγως ἀνδρί γ' εὐρώστῳ τὸ σῶμα, ὁ ἀπὸ γῆς, ἄν τ' οὖν ἰδίαν ἔχῃ τις ἄν τε καὶ μή. πολλοὶ γὰρ δὴ καὶ ἀλλοτρίαν γῆν γεωργοῦντες, ἢ δημοσίαν ἢ ἰδιωτικήν, δύνανται τρέ- 10 *φειν οὐ μόνον αὑτούς, καὶ τέκνα δὲ καὶ γυναῖκας· ἔνιοί γε δὴ καὶ εἰς ἄγαν ἀπὸ τούτου εὐποροῦσιν, αὐτουργικοὶ καὶ φιλόπονοι ὄντες. ἀμείβεται γὰρ ἡ γῆ κάλλιστα καὶ δικαιότατα τοὺς ἐπιμελομένους αὐτῆς, πολλαπλάσια ὧν λαμβάνει διδοῦσα καὶ ἀφθονίαν παρ-* 15

---

6 Cic. de off. I 42, 151 *omnium autem rerum, ex quibus aliquid adquiritur, nihil est agri cultura melius* e. q. s. Columella de re r. praef. *superest . . . unum genus liberale et ingenuum rei familiaris augendae, quod ex agricolatione contingit* **14** *δικαιότατα*] cf. Xenoph. oecon. 5, 12 Aristot. oecon. 1, 2 p. 1343ᵃ 28 Verg. georg. II 459 s.

---

2 *αὐτὸς* om. S ‖ **3** Stobaeus flor. 56, 18 Mein. ecl. cum lemm. hab. SMA. praecessisse alteram dissertationis partem a gnomologo praetermissam apparet ex initio *Ἔστι καὶ ἕτερος*, perspexit Peerlkamp p. 280 ‖ **6** fuerit olim apud Lucium ⟨*Ἀλλ'*⟩ *ἔστι καὶ ἕτ.* vel *Ἔστι* ⟨*δὲ*⟩ *καὶ ἕτ.* ‖ **7** *ἀμείνω* S ¦ *νομισθείη* Wakefield ‖ *εὐρρώστω* A[1]. correxit plurima in hac ut in reliquis Musonii eclogis A[2]. omitto res levioris momenti velut interpunctionum correctiones ‖ **11** *ἑαυτοὺς* A ‖ **12** *δὴ* Peerlkamp: *δὲ* libri ¦ *εἰς ἄγαν* poterant memorare Kühner et Gerth *Ausf. gr.* II 1 p. 540 sicut *εἰς ἅλις*

ἔχουσα πάντων τῶν ἀναγκαίων πρὸς τὸν βίον τῷ βου-
λομένῳ πονεῖν, καὶ ταῦτα μὲν σὺν τῷ πρέποντι, σὺν
αἰσχύνῃ δ' οὐδὲν αὐτῶν. οὐ γάρ ἐστιν ἀνθρώπων
οὐδεὶς μὴ θρυπτικός γε μηδὲ μαλακὸς ὤν, ὅς ἂν φαίη
5 τῶν γεωργικῶν ἔργων ⟨ὁτι⟩οῦν αἰσχρὸν ἢ ἀνάρμοστον
ἀνδρὶ ἀγαθῷ εἶναι. πῶς μὲν γὰρ οὐ καλὸν τὸ φυτεύ-
ειν; πῶς δὲ τὸ ἀροῦν; πῶς δὲ τὸ ἀμπελουργεῖν; τὸ δὲ
σπείρειν, τὸ δὲ θερίζειν, τὸ δὲ ἀλοᾶν, οὐ πάντ' ἐλευ-
θέρια ταῦτα καὶ ἀνδράσιν ἀγαθοῖς πρέποντα; καὶ μὴν
10 τὸ ποιμαίνειν ὥσπερ Ἡσίοδον οὐ κατῄσχυνεν οὐδ'
ἐκώλυεν εἶναι θεοφιλῆ τε καὶ μουσικόν, οὕτως οὐδ'
ἂν ἄλλον οὐδένα κωλύσειεν. ἐμοὶ μὲν δὴ καὶ ἀρεστὸν
τοῦτο πάντων τῶν ἐν γεωργίαις ἔργων, ὅτι τῇ ψυχῇ
παρέχει σχολὴν πλείονα διανοεῖσθαί τι καὶ ζητεῖν παι-
15 δείας ἐχόμενον. ὅσα μὲν γὰρ ἔργα πάνυ ἐντείνει τὸ
σῶμα καὶ κάμπτει, ταῦτα καὶ τὴν ψυχὴν ἀναγκάζει
πρὸς αὐτοῖς εἶναι μόνοις ἢ μάλιστα συνεντεινομένην
τῷ σώματι· ὅσα δὲ τῶν ἔργων ἐφίησι μὴ ἄγαν ἐντε-
τάσθαι τὸ σῶμα, ταῦτ' οὐκ ἀπείργει τὴν ψυχὴν ἐκλογί-
20 ζεσθαί τι τῶν κρειττόνων κἀκ τῶν τοιούτων λογισμῶν
αὐτὴν αὑτῆς γίνεσθαι σοφωτέραν, οὗ δὴ καὶ μάλιστα

2 πάντα μὲν prop. Hirschig, poterat καὶ ⟨πάντα⟩ ταῦτα μὲν sim. ‖ 4 γε (ut Wakefield) SM: τε ATr. ‖ 5 ὁτιοῦν ci. Gesn.[1] f. 356 mrg: οὖν SMA ὅτι suprascr. A[2] ‖ 6 μὲν om. A | οὐ om. A[1] ‖ 8 τὸ δὲ οὐ πάντ' fere S, unde τὸ δὲ ἀλοᾶν, τὸ δὲ ⟨λικμᾶν⟩, οὐ πάντ' frustra coni. Meineke | ἐλευθερία SMA[1] ἐλεύθερα A[2]: corr. Gesner ‖ 10 κατῄσχυνεν sed ῄ ex αι A[1] | οὐδὲ ἐκ. Tr. et ut videtur A ‖ 12 μὲν δὴ καὶ ἀρεστὸν SM μὲν καὶ ἀρεστὸν A[1] γὰρ inseruit A[2]. μὲν δοκεῖ ἄριστον Pflugk, quod immerito recepit Meineke proponens tamen μὲν δὴ καὶ ἀρεστότατον. hoc verum videtur, nisi fuit ⟨μάλιστ'⟩ ἀρεστὸν cf. p. 59, 2 14 διανεῖσθαι A | τι Geel in editione Peerlkampi: τε SMA ‖ 15 ἐχόμενα A[2] | γὰρ om. A[1] ‖ 19 τῷ σώματ' αὐτοῦ κἀπείργει S τὸ σῶμα ταὐτοῦ καπείργει M τὸ σῶμα τ' αὐτοῦ κἀπείργει A[1]: distinxit A[2] ‖ 21 αὐτὴν αὐτῆς γίγνεσθαι M

πᾶς φιλόσοφος ἐφίεται. διὰ ταῦτ' ἐγὼ τὴν ποιμενικὴν
ἀσπάζομαι μάλιστα· εἴ γε μὴν ἅμα φιλοσοφεῖ τις καὶ
γεωργεῖ, οὐκ ἄλλον ἂν παραβάλοιμι τούτῳ βίον οὐδὲ
πορισμὸν ἕτερον προτιμήσαιμι ἄν. πῶς μὲν γὰρ οὐ
κατὰ φύσιν μᾶλλον ἀπὸ γῆς, ἣ τροφός τε καὶ μήτηρ 5
ἐστὶν ἡμῶν, ἢ ἀπ' ἄλλου του τρέφεσθαι; πῶς δ' οὐκ
ἀνδρικώτερον τοῦ καθῆσθαι ἐν πόλει, ὥσπερ οἱ σοφι-
σταί, τὸ ζῆν ἐν χωρίῳ; πῶς δ' οὐχ ὑγιεινότερον τοῦ
σκιατροφεῖσθαι τὸ ἔξω διαιτᾶσθαι; 'τί δέ; ἐλευθεριώ-
τερον αὐτὸν αὑτῷ μηχανᾶσθαι τὰ ἀναγκαῖα ἢ παρ' ἑτέρων 10
λαμβάνειν;' ἀλλὰ φαίνεται τὸ μὴ δεῖσθαι ἄλλου πρὸς τὰς
χρείας τὰς αὑτοῦ πολὺ σεμνότερον ἢ τὸ δεῖσθαι. οὕτως
ἄρα καλὸν καὶ εὐδαιμονικὸν καὶ θεοφιλὲς τὸ ζῆν ἀπὸ
γεωργίας ἐστί, σύν γε τῷ καλοκἀγαθίας μὴ ὀλιγωρεῖν,
ὥστε Μύσωνα τὸν Χηναῖον ὁ θεὸς ἀνεῖπε σοφὸν καὶ 15
τὸν Ψωφίδιον Ἀγλαὸν εὐδαίμονα προσηγόρευσε, χωρι-
τικῶς ἑκάτερον αὐτῶν βιοῦντα καὶ αὐτουργίᾳ χρώ-

---

15 Hippon. fr. 45 B. *καὶ Μύσων, ὃν ὡπόλλων ἀνεῖπεν ἀν-δρῶν σωφρονέστατον πάντων.* tamquam Chenaeum commemorant multi, primus Plato Prot. p. 343 A. cf. Diog. Laert. I 106 s. 16 de Aglao vide Paus. VIII 24, 13 Plin. n. h. VII 46 Val. Max. VII 1, 2

---

1 *ταῦτ'* Tr., fort. A: *ταῦτα* SM | *ποιμεν-* M ex *ποιμαιν-* corr. S[1] *ποιμαιν-* A[1] ‖ 2 *φιλοσοφεῖ* A: *φιλοσοφοῖ* SM ‖ 3 *γεωργεῖ* A: *γεωργοῖ* SM | *παραβάλλοιμι* SMA[1]: corr. A[2] | *τοῦτον* A[1] ‖ 7 *ὥσπερ οἱ σοφισταί* seclusit Meineke, vix recte, cf. supra p. 29, 12 adn. ‖ 8 *ὑγειν-* S ‖ 9 *σκιατραφεῖσθαι* A[2] | post *τί δέ* distinxit Meineke ‖ 10 *αὑτῷ* STr. *αὐτῷ* M *ἑαυτῷ* A ‖ 12 *αὐτοῦ* SMA: corr. A[2] | fort. *σεμνότερον ⟨ὂν⟩ ἢ* cf. infra p. 76, 15 ‖ 12 *οὕτως* A: *οὕτως* (*οὕτω* Tr.) *δ'* SMTr. ‖ 13 *καὶ θεοφ.*] *καὶ* ex *τὸ* corr. S[1] ‖ 14 *τῷ* MTr. *τὸ* SA[1] ‖ 15 *μύσων αὐτὸν* M | *χημαῖον* libri: corr. Holstenius ‖ 16 *ψοφίδιον* (*ψοφόδ-* A) SMA: corr. Valckenaer | *Ἄγλαον* rectius putavit Meineke, sed vide Herodian. I p. 112, 10 L. ‖ *χωριτικῶς* M *χωριστικῶς* SA

μενον καὶ τῆς ἐν ἄστει διατριβῆς ἀπεχόμενον. ἆρ' οὖν οὐκ ἄξιον ζηλοῦν τε καὶ μιμεῖσθαι τούτους καὶ περιέχεσθαι σπουδῇ τοῦ γεωργεῖν;

'Τί οὖν; οὐ δεινὸν' φαίη τις ἂν ἴσως 'ἄνδρα παι- 5 *δευτικὸν καὶ δυνάμενον προβιβάζειν νέους εἰς φιλοσοφίαν ἐργάζεσθαι γῆν καὶ τῷ σώματι πονεῖν τοῖς χωρίταις παραπλησίως;' ναί. δεινὸν ἂν τοῦτο τῷ ὄντι ἦν, εἴπερ ἐκώλυεν ἡ ἐργασία τῆς γῆς φιλοσοφεῖν ἢ ἄλλους πρὸς φιλοσοφίαν ὠφελεῖν. νῦν δὲ καὶ μᾶλ-* 10 *λον ἄν μοι δοκοῦσιν ὠφελεῖσθαι οἱ νέοι οὐκ ἐν πόλει τῷ διδασκάλῳ συνόντες οὐδ' ἐν τῇ διατριβῇ ἀκούοντες αὐτοῦ λέγοντος, ἀλλ' ἐργαζόμενον ἐπὶ τῆς ἀγροικίας ὁρῶντες καὶ ἔργῳ ἐνδεικνύμενον ἅπερ ὑφηγεῖται ὁ λόγος, ὅτι χρὴ πονεῖν καὶ κακοπαθεῖν τῷ σώματι μᾶλ-* 15 *λον ἢ ἑτέρου δεῖσθαι τοῦ τρέφοντος. τί δὲ τὸ κωλῦον ἐστὶ καὶ ἐργαζόμενον [μετὰ] τοῦ διδασκάλου τὸν μαθητὴν ἀκούειν τι ἅμα περὶ σωφροσύνης ἢ δικαιοσύνης ἢ καρτερίας λέγοντος; πολλῶν μὲν γὰρ λόγων οὐ δεῖ τοῖς φιλοσοφήσουσι καλῶς, οὐδὲ τὸν ὄχλον τοῦτον τῶν* 20 *θεωρημάτων ἀναληπτέον πάντως τοῖς νέοις, ἐφ' ᾧ*

---

18 Antisthenes Diogenis Laert. VI **11** *τήν τε ἀρετὴν τῶν ἔργων εἶναι μήτε λόγων πλείστων δεομένην μήτε μαθημάτων* cf. Demetrius Senecae de benef. VII **1, 3.** Sen. ep. **38, 1**
19 cf. Musonius p. **1, 7** Marcus Antoninus I **7**

---

2 *τε* om. A ‖ *τοῦτον* A[1] ‖ *καὶ* A om. SM ‖ **3** *σπουδῆι* scripsi: *σπουδῆς* libri nisi quod *σπουδῆς τῆς* A[2] ‖ **4** *οὖν* om. A[1] ‖ **7** *ναὶ δεινὸν ἂν* (*αν* M) *τοῦτο* SM *ναὶ γὰρ ἂν* A; *ναί. δεινὸν γὰρ ἂν τοῦτο* Gaisford et Meineke ‖ **13** *ὥσπερ* Tr. ‖ **15** *δὲ* ATr. *δαὶ* S *δεαι* (dubites igitur *δε* (sscr. *αι*) an *δαι* (sscr. *ε*) fuerit in libro antiquiore) M ‖ **16** *μετὰ* seclusi, cf. supra p. 3, 19 ‖ **17** *ἢ δικ.* MA *περὶ δικ.* S ‖ **19** *φιλοσοφοῦσι* A | *τοῦτον* (ut coniecit Meineke) S *τούτων* MTr. et primo A

φυσωμένους τοὺς σοφιστὰς ὁρῶμεν· ταῦτα γὰρ δὴ τῷ
ὄντι ἱκανὰ κατατρῖψαι βίον ἀνθρώπου ἐστί. τὰ δ'
ἀναγκαιότατα καὶ χρησιμώτατα μαθεῖν οὐκ ἀδύνατον
καὶ πρὸς ἐργασίᾳ γεωργικῇ ὄντας, ἄλλως τε καὶ οὐ
διὰ παντὸς ἐργασομένους, ἀλλὰ ἀναπαύλαις χρησομένους. 5
ὀλίγοι μὲν οὖν τὸν τρόπον τοῦτον ἐθελήσουσι μανθά-
νειν, οἶδ' ἀκριβῶς ἐγώ· ἔστι δὲ ἄμεινον μηδὲ προσιέναι
τῷ φιλοσόφῳ τοὺς πλείονας τῶν φιλοσοφεῖν λεγόντων
νέων, ὅσοι σαθροί τε καὶ μαλακοί, δι' οὓς προσιόντας
ἀναπίμπλαται κηλίδων φιλοσοφία. τῶν μὲν γὰρ ἀλη- 10
θινῶν ἐραστῶν φιλοσοφίας οὐκ ἔστιν οὐδείς, ὃς οὐκ
ἂν ἐθελήσειε μετ' ἀνδρὸς ἀγαθοῦ διάγειν ἐν χωρίῳ,
καὶ εἰ χαλεπώτατον τύχοι ὂν τὸ χωρίον, μέλλων γε
ἀπολαύειν μεγάλα ταύτης τῆς διατριβῆς τῷ συνεῖναι
τῷ διδασκάλῳ νύκτωρ καὶ μεθ' ἡμέραν, τῷ ἀπεῖναι 15
τῶν ἀστικῶν κακῶν, ἅπερ ἐμπόδιον τῷ φιλοσοφεῖν,
τῷ μὴ δύνασθαι λανθάνειν εὖ ἢ κακῶς τι ποιῶν, ὃ δὴ
μέγιστον τοῖς παιδευομένοις ὄφελος· καὶ ἐσθίειν δὲ
καὶ πίνειν καὶ καθεύδειν ἐφορώμενον ὑπ' ἀνδρὸς ἀγα-
θοῦ μέγα ὄφελος. ἃ δὲ γένοιτ' ἂν ἐξ ἀνάγκης ἐν 20

---

2 cf. Xenopho apomn. IV 7, 5 **7** cf. Arr. Epict. diss. III 6, 9 s. **14** cf. Seneca ep. 108, 4 *ea philosophiae vis est, ut non studentes, sed etiam conversantes iuvet* **15** *τὸ δεῖν ἀεὶ θεραπευομένους βιοῦν τοὺς σῴζεσθαι μέλλοντας* inculcat Musonius ap. Plut. de cohib. ira p. 453 D. cf. Seneca ep. 7, 6 *subducendus populo est tener animus et parum tenax recti*
17 Seneca ep. 11, 9 *magna pars peccatorum tollitur, si peccaturis testis adsistit*

---

1 *φυσωμένους* S *φυσσωμ-* A *φυσομ-* M | *δῶ* ut videtur pro *δὴ* M ‖ **2** *κατατρίψαι* SM sed ut *κατατρ* correxerit S¹ ex v. *τῷ ὄντι* per errorem iteratis: *διατρίψαι* A ‖ **5** *ἀλλ'* A ‖ **7** *προσεῖναι* SMA: corr. Halm ‖ **13** *τύχ* (η superscr.) A¹ ‖ **19** *ὑφορ-* Tr. ‖ **20** v. *ἃ δὲ γένοιτ' ἂν* — p. 62 l. 10 *τὸν ἐόντα νόον* insiticia putavit Meineke diatribarum indolem et naturam parum perspiciens

τῇ συνουσίᾳ τῇ κατ' ἀγρόν, ταῦτα ἐπαινεῖ καὶ Θέογνις
ἐν οἷς φησι

καὶ μετὰ τῶν σύ γε πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἷζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.

5 ὅτι γε μὴν οὐκ ἄλλους τινὰς ἢ τοὺς ἀγαθοὺς ἄν-
δρας λέγει μεγάλην ἔχειν δύναμιν πρὸς ἀνθρώπων
ὠφέλειαν, εἰ συνεσθίοι καὶ συμπίνοι τις αὐτοῖς καὶ
συγκαθέζοιτο, ⟨ὧδε⟩ δεδήλωκεν·

ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
10 †συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

μὴ δὴ λεγέτω τις ὅτι τῷ μανθάνειν ἢ τῷ διδάσκειν

---

1 Theogn. 33 s. affert una cum proximo disticho Plato Men. p. 95 D, eisdem utitur Nicostratus Stobaei (flor. 74, 64 Mein.), Stoicus, opinor: χρηστὸν δὲ καὶ τό 'μετὰ τῶν σύ γε πῖνε καὶ ἷζανε', παρ' ὧν τι φησὶ καὶ χρηστὸν ἂν ἀπολαύσαις
9 s. Theogn. 35 s. afferunt Plato Men. p. 95 D Xenopho apomn. I 2, 20 (Stob. III 29, 95 p. 657, 13 H.) symp. 2, 5 Clemens Alex. strom. V p. 677 P. alii, quos vide apud Bergkium. cf. Ps.-Crates epist. 29

---

1 ταῦτ' A ‖ 3 μετὰ τῶν σύ γε π. MA Nicostr. μετὰ τῶν γε σὺ π. S: μετὰ τοῖσιν π. libri Theogn. παρὰ τοῖσιν π. Plat. | τοῖσιν ex τίσιν corr. M[1] ‖ 4 ἷζε Theogn. Plat. inde tacite Gesn.[1] f. 357ᵛ, vulg.: ἷζεο SA ἵζεο M sed ζ in ras. corr. M[2] | τοῖς ὧν] ω corr. S[1], qui scripserat τοῖσιν ut videtur ‖ 5 γε μὴν SM: μὲν οὖν A ‖ 6 μεγάλην ἔχειν λέγει A ‖ 7 συνεσθίοι M συνεσθί^οι S[1] συν-εσθίει A[1] ‖ 8 ὧδε addidi | post δεδήλωκεν (sic A[1]) inserit ἐν τούτοις A[2], praemisso κείμενον, quod verbis ἐν τούτοις sub-iungitur in A marg. inferiore eadem manus quae in Musonii ecl. VIII (supra p. 32 s.) corrigenda versata est hoc addit scholium τὸ μέντοι φαύλοις καὶ μοχθηροῖς τὸν τρόπον συνδιατρίβειν καὶ κοινωνεῖν αὐτοῖς διαίτης ὅσον ἐπισφαλές, ἐν ἑτέροις ‖ 9 μαθή-σεαι SA μαθήσεται M μαθήσεαι etiam Clem. et fortasse Stob. in Xenophontis loco citato, ubi διδάξεαι MA, διδάξεαι Xen. utroque loco et Plato | εἰ (pro ἢν) A[1] ‖ 10 συμμιγῇς libri ut Stobaei III 29, 95, Clem., Xenophontis apomn. plurimi, convivii omnes, Platonis: συμμίσγῃς Xenophontis apomn. cod. Paris. 1302, Theogn. συμμιγέῃς Cobet ‖ 11 μὴ δὴ (ut proposuit Meineke) SM: μηδὲ A Tr. | τῷ Tr.: τὸ SM τὸ τῷ A[1], ex ὅ^τι A[2] ὅτι corr. |

ἃ χρὴ τὸ γεωργεῖν ἐμπόδιον· οὐ γὰρ ἔοικεν οὕτως ἔχειν, εἰ δὴ μάλιστ' ἂν οὕτω καὶ ἐπὶ πλεῖστον ὁ μὲν μανθάνων συνείη τῷ διδάσκοντι, ὁ δὲ διδάσκων διὰ χειρὸς ἔχοι τὸν μανθάνοντα. τούτου δὲ τοιούτου ὄντος, ὁ πόρος ἐκ γεωργίας φαίνεται ὢν τῷ φιλοσόφῳ 5 πρεπωδέστατος.

XII.

ΜΟΥΣΩΝΙΟΥ
ΕΚ ΤΟΥ
ΠΕΡΙ ΑΦΡΟΔΙΣΙΩΝ.

Μέρος μέντοι τρυφῆς οὐ μικρότατον κἀν τοῖς 10 ἀφροδισίοις ἐστίν, ὅτι ποικίλων δέονται παιδικῶν οἱ τρυφῶντες οὐ νομίμων μόνον ἀλλὰ καὶ παρανόμων, οὐδὲ θηλειῶν μόνον ἀλλὰ καὶ ἀρρένων, ἄλλοτε ἄλλους θηρῶντες ἐρωμένους, καὶ τοῖς μὲν ἐν ἑτοίμῳ οὖσιν οὐκ ἀρκούμενοι, τῶν δὲ σπανίων ἐφιέμενοι, συμπλοκὰς δ' 15 ἀσχήμονας ζητοῦντες, ἅπερ ἅπαντα μεγάλα ἐγκλήματα ἀνθρώπου ἐστίν. χρὴ δὲ τοὺς μὴ τρυφῶντας ἢ μὴ

τῷ διδ. Tr. et ut videtur A: τὸ SM ‖ 1 τῷ γεωργ. operarum errore Gesn.[2] p. 371 ‖ 2 ἂν delevit A[2]; μάλιστά γ' οὕτω Meineke | πλείστων A | ἔχει A[1] corr. A[2] ‖ 5 ὁ πόρος SA: ὁποῖοσ M ‖ 6 πρεπωδέστατος SM: χρησιμώτατός τε καὶ πρεπωδέστατος A idq. receperunt Gaisford et Meineke, recte fortasse. ceterum cf. Pflieger *Musonius bei Stob.* p. 38 ‖ 7 Stobaeus III 6, 23 H. ecl. cum lemm. hab. LMA; pro *Μουσωνίου* habet *'Η τοῦ* (*'Η* rubr.) L ubi *Τοῦ αὐτοῦ* recte coniecit R. Schoell, mox ἐκ τοῦ L; ἐκ τῶν M[d] A. his excepta sunt alia quae olim legebantur περὶ τρυφῆς ‖ 10 *'Ο ἔρος* (*'Ο* rubr.) L ‖ 15 ἀρκούμενοι M[d] A: ἄρκου L ‖ 16 ἅπαντα om. A ‖ 17 ἐστίν. χρὴ — p. 64 l. 3 καὶ νόμιμα propter homoeoteleuton interciderunt L

κακοὺς μόνα μὲν ἀφροδίσια νομίζειν δίκαια τὰ ἐν
γάμῳ καὶ ἐπὶ γενέσει παίδων συντελούμενα, ὅτι καὶ
νόμιμά ἐστιν· τὰ δέ γε ἡδονὴν θηρώμενα ψιλὴν ἄδικα
καὶ παράνομα, κἂν ἐν γάμῳ ᾖ. συμπλοκαὶ δ' ἄλλαι αἱ
5 μὲν κατὰ μοιχείαν παρανομώταται, καὶ μετριώτεραι τού-
των οὐδὲν αἱ πρὸς ἄρρενας τοῖς ἄρρεσιν, ὅτι παρὰ φύσιν
τὸ τόλμημα· ὅσαι δὲ μοιχείας ἐκτὸς συνουσίαι πρὸς θη-
λείας εἰσὶν ἐστερημέναι τοῦ γίνεσθαι κατὰ νόμον, καὶ
αὗται πᾶσαι αἰσχραί, αἵ γε πράττονται δι' ἀκολασίαν.
10 ὡς μετά γε σωφροσύνης οὔτ' ἂν ἑταίρᾳ πλησιάζειν
ὑπομείνειέ τις, οὔτ' ἂν ἐλευθέρᾳ γάμου χωρὶς οὔτε
μὰ Δία θεραπαίνῃ τῇ αὑτοῦ. τὸ γὰρ μὴ νόμιμον μηδ'
εὐπρεπὲς τῶν συνουσιῶν τούτων αἶσχός τε καὶ ὄνειδος
μέγα τοῖς θηρωμένοις αὐτάς· ὅθεν οὐδὲ πράττειν φα-
15 νερῶς οὐδὲν ἀνέχεται τῶν τοιούτων οὐδείς, κἂν ἐπ'
ὀλίγον ἐρυθριᾶν οἷός τε ᾖ, ἐπικρυπτόμενοι δὲ καὶ
λάθρᾳ οἵ γε μὴ τελέως ἀπερρωγότες ταῦτα τολμῶσιν.

---

3 s. exscripsit Clemens Alex. paedag. II **10**, **92** p. 225 P.: *ψιλὴ γὰρ ἡδονή, κἂν ἐν γάμῳ παραληφθῇ, παράνομός ἐστι καὶ ἄδικος καὶ ἄλογος.* cf. Sexti sent. **231**. **232** Elt. *μοιχὸς τῆς ἑαυτοῦ γυναικὸς πᾶς ὁ ἀκόλαστος. Μηδὲν ἕνεκα ψιλῆς ἡδονῆς ποίει.* numquam temperantiam ad voluptates venire *propter ipsas* dicit Sen. ep. 88, 29 **4** ss. Ps.-Luc. amor. c. 20 *ἡ πάντα τολμῶσα τρυφὴ τὴν φύσιν αὐτὴν παρενόμησε* **7** *τὸ τόλμημα*] respicitur Platonis leg. I p. 636 C. an praeeunte Panaetio vel Posidonio? **14** *ὅθεν* — **17** *τολμῶσιν*] cf. Arr. Epict. III **22**, **14**. horum consimilia obtulerat Panaetius *περὶ*

---

1 *τὰ* (ut tacite corr. Gesn.[2]) A: *τῶ* M[d] ‖ **3** *τά γέ δε* A ‖ **4** *κἂν* (ut tacite corr. Gesn.[2]) LA: *καὶ* M[d] ‖ **7** *συνουσίαι* Iacobs animadv. in Stob. p. 231: *οὖσαι* LM[d]A ‖ **8** *καὶ* om. L ‖ **10** *οὔτ'* Meineke: *οὐκ* LM[d]A | *ἑτέρᾳ* A[1] corr. A[2] | *πλησιάσαι* A, recepit Meineke ‖ **11** *ἐλευθέρια* L ‖ **12** *αὑτοῦ* tacite Meineke: *αὐτοῦ* libri ‖ **13** *τούτων* om. A ‖ **15** *οὐδείς*, ⟨ὃς⟩ *κἂν* Meineke Stob. flor. v. IV p. LVII, sed transferebant *καί* particulam, quia invaluerat *κἂν* formula. ut idem sit quod *ἐὰν καί*, cf. Arr. Epict. diss. IV 7, 40

καίτοι τό γε πειρᾶσθαι λανθάνειν ἐφ' οἷς πράττει τις ὁμολογοῦντος ἁμαρτάνειν ἐστί. 'νὴ Δία·' φησίν 'ἀλλ' οὐχ ὥσπερ ὁ μοιχεύων ἀδικεῖ τὸν ἄνδρα τῆς διεφθαρμένης γυναικός, οὐχ οὕτως καὶ ὁ τῇ ἑταίρᾳ συνὼν ἀδικεῖ τινὰ ἢ νὴ Δία τῇ μὴ ἐχούσῃ ἄνδρα· οὐδὲ γὰρ 5 *ἐλπίδα παίδων οὐδενὸς διαφθείρει οὗτος.' ἐγὼ δ' ἐπέχω μὲν λέγειν, ὡς πᾶς ὅστις ἁμαρτάνει καὶ ἀδικεῖ εὐθύς, εἰ καὶ μηδένα τῶν πέλας, ἀλλ' αὑτόν γε πάντως χείρονα ἀποφαίνων καὶ ἀτιμότερον· ὁ γὰρ ἁμαρτάνων, παρ' ὅσον ἁμαρτάνει, χείρων καὶ ἀτιμότερος.* 10 *ἵνα οὖν ἐῶ τὴν ἀδικίαν, ἀλλ' ἀκολασίαν γε πᾶσα*

καθήκοντος. cf. Cicero de off. I 30, 105 *quin etiam, si quis est paulo ad voluptates propensior, modo ne sit ex pecudum genere (sunt enim quidam homines non re, sed nomine), sed si quis est paulo erectior, quamvis voluptate capiatur, occultat et dissimulat appetitum voluptatis propter verecundiam.* cf. Plat. Phileb. p. 66 A **1** *καίτοι τό γε* — **2** *ἁμαρτάνειν ἐστίν*] non differt Clemens Alex. paed. II 10, 100 p. 230 P.
1 s. cf. Seneca ep. 97, 12 *omnes peccata dissimulant.* Dio Prus. or. LXVI 1 vol. II p. 160, 15 s. Arn. **7** *πᾶς ὅστις* — 66, 1 *αἰσχρᾶς ἡδονῆς*] Clemens Alex. l. s.: *πᾶς δὲ ὃς ἁμαρτάνει, καὶ ἀδικεῖ εὐθὺς οὐχ οὕτως τὸν πέλας, ἂν μοιχεύῃ, ὡς ἑαυτόν, ὅτι μεμοίχευκεν. ἀλλὰ πάντως αὐτὸν χείρονα ἀποφαίνει καὶ ἀτιμότερον. ὁ γὰρ ἁμαρτάνων παρ' ὅσον ἁμαρτάνει χείρων καὶ ἀτιμότερος αὐτὸς αὑτοῦ, πάντως δὲ ἤδη που καὶ ἀκολασία πρόσεστι τῷ ἡττωμένῳ αἰσχρᾶς ἡδονῆς*

---

1 *πράττοι* A^1 *πράττει* A^2 ‖ **2** *ὁμολογοῦντας* A^1, corr. A^2 ‖ **3** *τοῖς* A^1 *τῆς* A^2 ‖ **4** *οὐχ* temere abiecit Gesn.[3] p. 83, cf. Xenopho oecon. 15, 10. Krueger *gr. spr.*[5] I 67, 11, 3 | *ἑταίρᾳ* (ut corr. Gesn.[2] p. 83 mrg.) LA: *ἑτέρα* M^d ‖ **5** *νὴ Δία* L: *νὴ δί' ὁ* M^d A. illud praestare videtur, unius ut vocabuli vim intendat formula, non ad totam pertineat sententiam. alioqui dicendum fuit *ἢ μὰ Δί' ὁ τῇ μὴ ἐχούσῃ ἄνδρα* ‖ **6** *οὕτως* A^1 *οὗτος* A^2 | *ἐγὼ* corr. ex *ἔχω* L ‖ *δ' ἐπέχω* scripsi: *δὲ ἔχω* libri; potest *ἐγὼ δ' ἐῶ μὲν λέγειν* ut infra ‖ **9** *ἀτιμώτερον* M^{1d} ‖ **10** post v. *καὶ ἀτιμότερος* ex Clemente *αὐτὸς αὑτοῦ* suppleri iubet Meineke v. IV p. LVII ‖ **11** *ἵν' οὖν* L *ἵνα οὖν* M^d, detrita hodie in A

ἀνάγκη πάντως προσεῖναι τῷ ἡττωμένῳ αἰσχρᾶς ἡδονῆς
καὶ χαίροντι τῷ μολύνεσθαι, ὥσπερ αἱ ὕες· οἷος οὐχ
ἥκιστά ἐστι καὶ ὁ δούλῃ ἰδίᾳ πλησιάζων, ὅπερ νομί-
ζουσί τινες μάλιστά πως εἶναι ἀναίτιον, ἐπεὶ καὶ δε-
5 σπότης πᾶς αὐτεξούσιος εἶναι δοκεῖ ὅ τι βούλεται χρῆ-
σθαι δούλῳ τῷ ἑαυτοῦ. πρὸς τοῦτο δὲ ἁπλοῦς μοι ὁ
λόγος· εἰ γάρ τῳ δοκεῖ μὴ αἰσχρὸν μηδ' ἄτοπον εἶναι
δούλῃ δεσπότην πλησιάζειν τῇ ἑαυτοῦ, καὶ μάλιστα εἰ
τύχοι οὖσα χήρα, λογισάσθω ποῖόν τι καταφαίνεται
10 αὐτῷ, εἰ δέσποινα δούλῳ πλησιάζοι. οὐ γὰρ ἂν δόξειεν
εἶναι ἀνεκτόν, οὐ μόνον εἰ κεκτημένη ἄνδρα νόμιμον
ἡ γυνὴ προσοῖτο δοῦλον, ἀλλ' εἰ καὶ ἄνανδρος οὖσα
τοῦτο πράττοι; καίτοι τοὺς ἄνδρας οὐ δήπου τῶν γυ-
ναικῶν ἀξιώσει τις εἶναι χείρονας, οὐδ' ἧττον δύνα-
15 σθαι τὰς ἐπιθυμίας παιδαγωγεῖν τὰς ἑαυτῶν, τοὺς
ἰσχυροτέρους τὴν γνώμην τῶν ἀσθενεστέρων, τοὺς
ἄρχοντας τῶν ἀρχομένων. πολὺ γὰρ κρείττονας εἶναι
προσήκει τοὺς ἄνδρας, εἴπερ καὶ προεστάναι ἀξιοῦνται
τῶν γυναικῶν· ἂν μέντοι ἀκρατέστεροι φαίνωνται ὄν-
20 τες, ... καὶ κακίονες. ὅτι δ' ἀκρασίας ἔργον καὶ οὐδε-

---

7 ss. consimili huius argumento utitur Seneca ep. 94, 26
17 *τοὺς ἄρχοντας τῶν ἀρχομένων*] cf. Hierocles Stob. flor. 67, 23 III p, 8, 21 ss. Mein.

---

2 *χαίροντα* A | *ὕες* e corr. M[d] ‖ **3** *ὧσπερ* A ‖ **7** *μοι ἀπλοῦς* L ‖ **8** *δούλην* (sic A[1] | *μάλιστ'* M[d] ‖ **9** *τύχοι* M teste Bethio, A: *τύχη* L; *τύχῃ* Gesn.[2] | *χῆρα*, *ῆ* e corr. M[d] | *λογισάσθω* sed *σθω* e corr. M[d] ‖ **10** *πλησιάζει* L ‖ **11** *ἀνεκτὸν* (ut tacite corr. Gesn.[2]) LA: *ἀνεκτὸς* M[d] ‖ **13** *οὐδέπου* LM[d]A: corr. Halm lect. Stob. p. 2 ‖ **18** *πρ̊δόκει* h. e. *προσδόκει* L ‖ **20** *εἰσὶν* vel *ἔσονται* addi iubet post *κακίονες* Geelius apud Peerlkampum p. 355. rectius ipse Peerlkamp lacunam statuit post *ὄντες* ubi supplet *φαί-νονται*, cui *φανοῦνται* praefert Meineke. mihi magis placet *ἔσονται* (vel *εἰσὶ*) *καὶ κακίονες* propter superiora illa *οὐ δή*

νὸς ἄλλου ἐστὶ τὸ δεσπότην δούλῃ πλησιάζειν, τί δεῖ καὶ λέγειν; γνώριμον γάρ.

XIII^A.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΤΙ ΚΕΦΑΛΑΙΟΝ ΓΑΜΟΥ. 5

***Βίου** καὶ γενέσεως παίδων κοινωνίαν κεφάλαιον εἶναι γάμου. **Τὸν** γὰρ γαμοῦντα, ἔφη, καὶ τὴν γαμουμένην ἐπὶ τούτῳ συνιέναι χρὴ ἑκάτερον θατέρῳ, ὥσθ' ἅμα μὲν ἀλλήλοις βιοῦν, ἅμα δὲ ποιεῖσθαι, καὶ κοινὰ δὲ ἡγεῖσθαι πάντα καὶ μηδὲν ἴδιον, μηδ' αὐτὸ τὸ* 10

---

3 cf. Clem. Alex. strom. II c. 23 p. 502 P. Hierocles Stob. flor. 67, 24 III p. 11, 6 s. M. Phintys Stob. flor. 74, 61 III p. 64, 13 M. plura collegit C. Praechter *Hierokles* p. 82 9 cf. Hierocles Stobaei flor. 67, 24 p. 10, 7 ss. M. *ζεῦγος ἀνδρὸς καὶ γυναικός, . . . συμφωνούντων μὲν ἀλλήλοις καὶ πάντα κοινὰ πεποιημένων μέχρι καὶ τῶν σωμάτων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν ψυχῶν*

που τῶν γυναικῶν ἀξιώσει τις εἶναι χείρονας κτέ. vel haec *πολὺ γὰρ κρείττονας εἶναι προσήκει κτέ.* | *δ'* M^d A: *δι'* L ‖ 2 v. *γνώριμον γάρ* expungi voluit Nauck ‖ 3 Stobaeus flor. 69, 23 Mein. ecl. hab. SMA; *Μουσωνίου ἐκ τοῦ τι κεφάλαὶ γά^μ* : M quod recepi, *μουσωνίου* nihil amplius S, *Μουσωνίου ἐκ τοῦ τίτλου κεφάλαιον γάμου* A, unde *Μουσ. ἐκ τοῦ τί τελείου κεφάλαιον γάμου* S. Mekler coll. Stob. flor. 56, 18 et 117, 8. sed vide ne interpolata sit vox *τίτλου* a librario comparans quae in codice Laurentiano adscripta sunt ad Stob. II 31, 126 W. *⟨πρ⟩όσφορα ταῦτα ⟨εἰς τ⟩ὸν περὶ γυναικὸς ⟨ἀν⟩δρείας τίτλον* ‖ 6 excerptoris festinantiam prodit primi enuntiati oratio obliqua | *κεφάλαιον — 7 γαμουμένην* om. A ‖ 8 *συνεῖναι* SMA: corr. Meineke ‖ 9 *ποιεῖσθαι* vix integrum, *τεκνοποιεῖσθαι* ci. Gesn.[1] f. 391^v, melius *παιδοποιεῖσθαι* Peerlkamp

σῶμα. μεγάλη μὲν γὰρ γένεσις ἀνθρώπου, ἣν ἀποτελεῖ τοῦτο τὸ ζεῦγος. ἀλλ' οὔπω τοῦτο ἱκανὸν τῷ γαμοῦντι, ὃ δὴ καὶ δίχα γάμου γένοιτ' ἂν συμπλεκομένων ἄλλως, ὥσπερ καὶ τὰ ζῷα συμπλέκεται αὐτοῖς.
5 δεῖ δὲ ἐν γάμῳ πάντως συμβίωσίν τε εἶναι καὶ κηδεμονίαν ἀνδρὸς καὶ γυναικὸς περὶ ἀλλήλους, καὶ ἐρρωμένους καὶ νοσοῦντας καὶ ἐν παντὶ καιρῷ, ἧς ἐφιέμενος ἑκάτερος ὥσπερ καὶ παιδοποιίας εἶσιν ἐπὶ γάμον. ὅπου μὲν οὖν ἡ κηδεμονία αὕτη τέλειός ἐστι,
10 καὶ τελέως αὐτὴν οἱ συνόντες ἀλλήλοις παρέχονται, ἁμιλλώμενοι νικᾶν ὁ ἕτερος τὸν ἕτερον, οὗτος μὲν οὖν ὁ γάμος ᾗ προσήκει ἔχει καὶ ἀξιοζήλωτός ἐστι· καλὴ γὰρ ἡ τοιαύτη κοινωνία· ὅπου δ' ἑκάτερος σκοπεῖ τὸ ἑαυτοῦ μόνον ἀμελῶν θατέρου, ἢ καὶ νὴ Δί' ὁ ἕτερος
15 οὕτως ἔχει, καὶ οἰκίαν μὲν οἰκεῖ τὴν αὐτήν, τῇ δὲ γνώμῃ βλέπει ἔξω, μὴ βουλόμενος τῷ ὁμόζυγι συντείνειν τε καὶ συμπνεῖν, ἐνταῦθ' ἀνάγκη φθείρεσθαι μὲν τὴν κοινωνίαν, φαύλως δὲ ἔχειν τὰ πράγματα τοῖς συνοικοῦσιν, καὶ ἢ διαλύονται τέλεον ἀπ' ἀλλήλων ἢ
20 τὴν συμμονὴν χείρω ἐρημίας ἔχουσιν.

---

5 ss. cf. Clem. Alex. strom. II p. 504 P. 7 νοσοῦντας] cf. Nicostratus Stob. flor. 74, 65 III p. 69, 25 M.

---

4 αὐτοῖσ M ‖ 5 πάντοσ M | θεῖναι A ‖ 8 ἑκάτερος Peerlkamp p. 355: ἕκαστος libri | εἰσὶν SMA: corr. Gesn.[1] mrg. ‖ 11 οὖν om. S ‖ 14 ἢ om. A | δῖα ὁ M ‖ 15 ἑαυτὴν A ‖ 16 ὁμοζύγω A ‖ 17 ἐνταῦθα S ‖ 20 χείρονα A. nihil fortasse inter hanc et proximam huius dissertationis particulam perisse monet Pflieger l. c. p. 42 s.

XIII[B].

ΜΟΥΣΩΝΙΟΥ
ΕΚ ΤΟΥ
ΤΙ ΚΕΦΑΛΑΙΟΝ ΓΑΜΟΥ.

Διὸ χρὴ τοὺς γαμοῦντας οὐκ εἰς γένος ἀφορᾶν εἰ ἐξ εὐπατριδῶν, οὐδ' εἰς χρήματα εἰ πολλὰ κέκτηνταί 5 *τινες, οὐδ' εἰς σώματα εἰ καλὰ ἔχουσιν. οὔτε γὰρ πλοῦτος οὔτε κάλλος οὔτ' εὐγένεια κοινωνίαν μᾶλλον αὔξειν πέφυκεν, ὥσπερ οὐδ' ὁμόνοιαν, οὐδ' αὖ τὴν παιδοποιίαν κρείττω ταῦτα ἀπεργάζεται· ἀλλὰ σώματα μὲν πρὸς γάμον ἀποχρῶντα τὰ ὑγιῆ καὶ τὴν ἰδέαν* 10 *μέσα καὶ αὐτουργεῖν ἱκανά, ἃ δὴ καὶ ἐπιβουλεύοιτ' ἂν ὑπὸ τῶν ἀκολάστων ἧττον, καὶ ἐργάζοιτο μᾶλλον ὅσα σώματος ἔργα, καὶ παιδοποιοῖτο μὴ ἐνδεῶς. ψυχὰς δὲ ἐπιτηδειοτάτας εἶναι νομιστέον τὰς πρὸς σωφροσύνην καὶ δικαιοσύνην καὶ ὅλως πρὸς ἀρετὴν εὐφυ-* 15 *εστάτας. ποῖος μὲν γὰρ γάμος χωρὶς ὁμονοίας καλός; ποία δὲ κοινωνία χρηστή; πῶς δ' ἂν ὁμονοήσειαν ἄν-*

---

4 ss. Antipater Tarsensis fr. 62 p. 254, 6 Arn. *χρὴ . . . μηδ' εἰς πλοῦτον μηδ' εἰς ὀγκοῦσαν εὐγένειαν μηδ' εἰς ἄλλην χάσμην μηδεμίαν ἀποβλέπειν, μηδὲ μὰ Δία εἰς κάλλος.* cf. Seneca de rem. fort. 16, 6 Nicostratus Stob. flor. 70, 12 p. 29, 30 ss. M. 6 Clem. Al. strom. IV p. 621 P. *χρὴ δὲ τὸν εὐδαίμονα γάμον οὔτε πλούτῳ ποτὲ οὔτε κάλλει κρίνεσθαι ἀλλ' ἀρετῇ* 17 ss. cf. Diog. Laert. VII 124 *λέγουσι* (sc. *οἱ Στωϊκοὶ*) *δὲ καὶ τὴν φιλίαν ἐν μόνοις τοῖς σπουδαίοις εἶναι διὰ τὴν ὁμοιότητα*

---

1 Stobaeus flor. 70, 14: ecl. cum lemmate habent SMA; *Μουσωνίου ἐκ τοῦ τι* (*τίτλου* pro *τι* A) *κ. γ.* MA *μουσωνίου* nihil amplius S. cf. p. 67, 3 adn. ‖ **9** *κρείττω ταῦτα* S *ταῦτα κρείττω* MA ‖ **10** *ἰδέαν* Tr. p. 399: *εἰδέαν* SM *ἰδίαν* A[1] ‖ **13** *ὅσα σώματος* prop. Gesn.[2] p. 428 mrg.: *ὡσ ἀσώματος* SMA sed prius ω ni fallor S[1] ex ο correxit, *ὅσα* superscr. litteris *ὡς ἀ* deletis A[2] ‖ **16** *ὁμονοίας* ex *ὁμαινοίας* ni fallor radendo corr. M

θρωποι πονηροὶ ὄντες ἀλλήλοις; ἢ πῶς ἀγαθὸς πονηρῷ ὁμονοήσειεν; οὐδέν γε μᾶλλον ἢ ὀρθῷ ξύλῳ στρεβλὸν συναρμόσειεν ἄν, ἢ στρεβλὰ ἄμφω ὄντα ἀλλήλοιν. τὸ γὰρ δὴ στρεβλὸν τῷ τε ὁμοίῳ τῷ στρεβλῷ ἀνάρμοστον 5 *καὶ τῷ ἐναντίῳ τῷ εὐθεῖ ἔτι μᾶλλον. ἔστι δὴ καὶ ὁ πονηρὸς τῷ τε πονηρῷ οὐ φίλος οὐδ' ὁμονοεῖ καὶ πολὺ ἧττον τῷ χρηστῷ.*

XIV.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

10 ### ΕΙ ΕΜΠΟΔΙΟΝ ΤΩΙ ΦΙΛΟΣΟΦΕΙΝ ΓΑΜΟΣ.

Ἄλλου δέ τινος φήσαντος, ὅτι ἐμπόδιον αὐτῷ δοκοίη εἶναι τῷ φιλοσοφεῖν γάμος καὶ ὁ σὺν γυναικὶ βίος, Πυθαγόρᾳ μέν, εἶπεν ὁ Μουσώνιος, οὐκ ἐμπόδιον ἦν, οὐδὲ Σωκράτει, οὐδὲ Κράτητι, ὧν ἕκαστος 15 *συνῴκησε γυναικί· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν ἄμεινον*

---

2 imago Stoicis usitata cf. Diog. Laert. VII 127 Seneca ep. 50, 6 **8** Diog. Laert. VII 121 *καὶ γαμήσειν, ὡς ὁ Ζήνων φησὶν ἐν Πολιτείᾳ, καὶ παιδοποιήσεσθαι* (sc. *τὸν σοφόν*). Stob. II p. 94, 14 s. p. 109, 16 W. **15** Arr. Epict. diss. III 22, 76 *Κράτης ἔγημεν*

---

1 post *πονηρῶ* unam litteram erasit M sed fuit nil nisi *πονηρῶι* ‖ **3** *ἀλλήλοισ* M ‖ **4** *τῶ* (*τῷ τε* A) *στρεβλῷ* et (**5**) *τῷ εὐθεῖ* secludi voluit Meineke ‖ **5** *ἔστι* S: *ἔτι* MA *οὕτω* Macarius Chrys. f. 130ʳ ‖ **8** Stobaeus flor. 67, 20 M. ecl. habent SMA. *μουσωνίου ἐκ* ᵀ *εἰ ἐμπόδιον ὂ γά* (*τῷ φιλοσόφῳ* add. Tr.) S *μουσωνίου ἐκ τοῦ ἐμπόδιον* (*εμπ-* M) *τῷ φιλοσοφεῖν* (super *φιλοσ.* scr. *ἡρουμένῳ* A[2]) *γάμος* MA ‖ **12** *ὁ γάμος* A[2] ‖ **13** *μουσόνιος* M ‖ **14** *σωκράτει* M sed *ει* in ras. M[2] *σωκράτη* A[1] | *ὦ* primo M

ἐκείνων ἑτέρους φιλοσοφήσαντας. καίτοι γε Κράτης ἄοικός τε καὶ ἀσκευὴς καὶ ἀκτήμων τέλεον ἦν, ἀλλ' ὅμως ἔγημεν· εἶτα μηδ' ὑπόδυσιν ἔχων ἰδίαν ἐν ταῖς δημοσίαις Ἀθήνησι στοαῖς διημέρευε καὶ διενυκτέρευε μετὰ τῆς γυναικός· ἡμεῖς δὲ ἀπ' οἰκίας ὁρμώμενοι, 5 *καὶ οἰκέτας τοὺς ὑπηρετοῦντας ἔχοντες ἔνιοι, τολμῶμεν ὅμως λέγειν ἐμπόδιον εἶναι φιλοσοφίᾳ γάμον; καὶ μὴν ὅ γε φιλόσοφος διδάσκαλος δήπου καὶ ἡγεμὼν πάντων τοῖς ἀνθρώποις ἐστὶ τῶν κατὰ φύσιν ἀνθρώπῳ προσηκόντων· κατὰ φύσιν δ', εἴ τι ἄλλο, καὶ τὸ γαμεῖν* 10 *φαίνεται ὄν. ἐπεὶ τοῦ χάριν ὁ τοῦ ἀνθρώπου δημιουργὸς πρῶτον μὲν ἔτεμε δίχα τὸ γένος ἡμῶν, εἶτ' ἐποίησεν αὐτῷ διττὰ αἰδοῖα, τὸ μὲν εἶναι θήλεος τὸ δὲ ἄρρενος, εἶτα δὲ ἐνεποίησεν ἐπιθυμίαν ἰσχυρὰν ἑκατέρῳ θατέρου τῆς θ' ὁμιλίας καὶ τῆς κοινωνίας καὶ* 15 *πόθον ἰσχυρὸν ἀμφοῖν ἀλλήλων ἐνεκέρασεν, τῷ μὲν ἄρρενι τοῦ θήλεος τῷ δὲ θήλει τοῦ ἄρρενος; ἆρ' οὖν ⟨οὐ⟩ γνώριμον, ὅτι ἐβούλετο συνεῖναί τε αὐτὼ καὶ*

---

10 *κατὰ φύσιν κτέ.*] cf. Clemens Al. paed. II 90 p. 224 P. strom. II p. 503 P. ‖ **11** *ὁ τοῦ ἀνθρώπου δημ.*] Diog. Laert. VII 147 *εἶναι δὲ* (sc. *θεόν*) *δημιουργὸν τῶν ὅλων* cf. Arr. Epict. diss. II 8, 21 ‖ **12** ss. Arr. Epict. diss. I 6, 9 Sch. *τὸ δ' ἄρρεν καὶ τὸ θῆλυ καὶ ἡ προθυμία ⟨ἡ⟩ πρὸς τὴν συνουσίαν ἑκατέρου καὶ ⟨ἡ⟩ δύναμις ἡ χρηστικὴ τοῖς μορίοις τοῖς κατεσκευασμένοις οὐδὲ ταῦτα ἐμφαίνει τὸν τεχνίτην;*

---

1 *ἑτέρους* supra lin. A[1] ‖ **2** *τέλεον* M superscr. M[2] ‖ **5** *ἀποικίας* M[1] corr. M[2] ‖ **9** *ἀνθρώπῳ* Koen: *ανων* S *ἀνθρώπων* M *ἀνων* A[1], videtur A[2] *ν* delevisse; *ἀνθρώποις* coni. Gesn.[1] f. 383 mrg. ‖ **11** *ὄν* scripsi: *οὖν* SM *εἶναι* A | *τοῦ* SM *τούτου* A | *χάριν* etiam A ‖ **12** *ἡμῶ* primo M ‖ **14** *δ' ἐποίησεν* A[1], corr. A[1] vel A[2] *ἐνεπ.* sed ita ut perierit *δὲ* ‖ **16** *ἀλλήλων* ex *-οιν* corr. S[1] | *ἐνεκέρασεν* cod. Par. 1985 teste Gaisfordo: *ἀνεκ-* SMA | *τὸ μὲν* M | *μὲν γὰρ ἄρρενι* Tr. p. 383 ‖ **17** *ἆρ' οὖν οὐ* Meineke: *ἆρ'* (*ἄρ* M[1]) *οὖν* SMA[1] *οὐ* superscr. A[2]

συζῆν καὶ τὰ πρὸς τὸν βίον ἀλλήλοιν συμμηχανᾶσθαι, καὶ γένεσιν παίδων καὶ τροφὴν ἅμα ποιεῖσθαι, ὡς ἂν τὸ γένος ἡμῶν ἀίδιον ᾖ. τί δ'; εἰπέ μοι, πότερα προσήκει ἕκαστον ποιεῖν καὶ τὰ τοῦ πέλας, καὶ ὅπως 5 οἶκοι ὦσιν ἐν τῇ πόλει αὐτοῦ, καὶ ὅπως ἡ πόλις μὴ ἔρημος ᾖ, καὶ ὅπως τὸ κοινὸν ἕξει καλῶς; εἰ μὲν γὰρ φῄς, ὡς τὸ αὑτοῦ σκεπτέον μόνον, ἀποφαίνεις τὸν ἄνθρωπον λύκου μηδὲν διαφέροντα μηδ' ἄλλου θηρίου τῶν ἀγριωτάτων μηδενός, ἅπερ ἀπὸ βίας καὶ πλεονεξίας 10 πέφυκε ζῆν, μὴ φειδόμενα μηδενὸς ἀφ' ὅτου μέλλει καρποῦσθαί τι ἡδύ, ἄμοιρα μὲν κοινωνίας ὄντα, ἄμοιρα δὲ συνεργίας τῆς ἀπ' ἀλλήλων, ἄμοιρα δὲ δικαίου παντός. εἰ δ' ὁμολογήσεις τὴν ἀνθρωπείαν φύσιν μελίσσῃ μάλιστα προσεοικέναι, ᾗ μὴ δύναται μόνῃ ζῆν,

---

3 ss. cf. Diog. Laert. VII 123 *οὐδ' ἐν ἐρημίᾳ, φασί, βιώσεται ὁ σπουδαῖος· κοινωνικὸς γὰρ φύσει καὶ πρακτικός.* Hierocles Stob. flor. 67, 21 p. 7, 15 ss. *πρώτη δὲ καὶ στοιχειωδεστάτη τῶν κοινωνιῶν ἡ κατὰ τὸν γάμον. οὔτε γὰρ πόλεις ἂν ἦσαν μὴ ὄντων οἴκων, οἶκός τε ἡμιτελὴς μὲν τῷ ὄντι ὁ τοῦ ἀγάμου, τέλειος δὲ καὶ πλήρης ὁ τοῦ γεγαμηκότος* **6** s. [Plato] ep. 9 p. 358 A *ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν.* Cic. de off. I 7, 22 *placet Stoicis . . . homines . . hominum causa esse generatos, ut ipsi inter se aliis alii prodesse possent* **7** Cicero de fin. III 19, 63 *immanes quaedam bestiae sibi solum natae sunt* **14** cf. Plato Phaed. p. 82 B Chrysippus ap. Athen. III p. 89 d e Plut. de soll. animal. p. 980 B Cicero l. c. *formicae, apes, ciconiae aliorum etiam causa quaedam faciunt*

---

1 *ἀλλήλων* libri: corr. Halm lect. Stob. p. 6 ‖ **3** *αἰδοῖον* S ‖ **4** exspectes *ἕκαστον ποιεῖν ⟨τὸ αὑτοῦ μόνον ἢ σκοπεῖν⟩ καὶ τὰ τοῦ πέλας* sim., sed structurae exempla similiter inmutatae congessere grammatici, conferatur inprimis Xen. apomn. IV 4, 7 Arr. diss. Epict. III 7, 6 ‖ **5** *μὲν* pro *μὴ* A ‖ **6** *ἕξει* ex *ἕξῃ* corr. S[1] ‖ **7** *αὐτοῦ* primo M ‖ **10** *μέλλει* M *μέλει* (λ suprascr.), λ add. pr. manus postquam litteram inter λ et ε inserere conata est S vocabulum om. A ‖ **12** *συνεργείας* MA: *συνεργίας* S cf. Arr. diss. Epict. IV 1, 73 Sch. | *παρ' ἀλλ.* coni. Nauck ‖ **14** *μάλιστα μελλίσσῃ* A recepit Meineke | *μὴ* SM: *οὐ* A, recepit Meineke | *δύνασθαι* M

ἀπόλλυται γὰρ μονωθεῖσα, πρὸς ἓν δὲ καὶ κοινὸν
ἔργον τῶν ὁμοφύλων συννένευκε καὶ συμπράττει καὶ
συνεργάζεται τοῖς πλησίον· εἰ ταῦτα ταύτῃ ἔχει, καὶ
ἔτι πρὸς τούτοις κακία μὲν ἀνθρώπου εἶναι ὑπείληπται
ἀδικία τε καὶ ἀγριότης καὶ τὸ τοῦ πλησίον πράττον- 5
τος κακῶς ἀφροντιστεῖν, ἀρετὴ δὲ φιλανθρωπία καὶ
χρηστότης καὶ δικαιοσύνη ἐστὶ καὶ τὸ εὐεργετικὸν
εἶναι καὶ τὸ κηδεμονικὸν εἶναι τοῦ πέλας· οὕτω καὶ
πόλεως ἑκάστῳ τῆς αὑτοῦ φροντιστέον καὶ τῇ πόλει
οἶκον περιβλητέον. ἀρχὴ δὲ οἴκου περιβολῆς γάμος. 10
ὥστε ὁ ἀναιρῶν ἐξ ἀνθρώπων γάμον ἀναιρεῖ μὲν οἶκον,
ἀναιρεῖ δὲ πόλιν, ἀναιρεῖ δὲ σύμπαν τὸ ἀνθρώπειον
γένος. οὐ γὰρ ἂν διαμένοι μὴ γενέσεως οὔσης, οὐδ'
ἂν γένεσις εἴη μὴ γάμου ὄντος, ἥ γε δικαία καὶ νόμι-
μος. ὅτι μὲν γὰρ οἶκος ἢ πόλις οὔτ' ἐκ γυναικῶν 15
συνίσταται μόνον οὔτ' ἐξ ἀνδρῶν μόνον, ἀλλ' ἐκ τῆς
πρὸς ἀλλήλους κοινωνίας, δῆλον· ἀνδρῶν δὲ καὶ γυναι-
κῶν κοινωνίας ἄλλην οὐκ ἂν εὕροι τις οὔτ' ἀναγκαιο-

---

11 ss. cf. Aristot. pol. I c. 2 p. 1251 a, 26 ss. Stobaeus II 7, 26 p. 148, 5 ss. W. Cicero de off. I 17, 54 Panaetium secutus (cf. Schmekel *Phil. der mittl. Stoa* p. 31 s. 376) *prima societas in ipso coniugio est, proxima in liberis, deinde una domus, communia omnia; id autem est principium urbis et quasi seminarium rei publicae.* cf. Antipater Tarsensis Stob. flor. 67, 25 (fr. 63 Arn.) *οὐκ ἂν ἄλλως δύναιντο αἱ πόλεις σῴζεσθαι, εἰ μὴ οἱ βέλτιστοι ταῖς φύσεσι τῶν πολιτῶν [ἢ] τῶν γενναίων παῖδες . . . καθ' ὥραν γαμοῖεν.* Hierocles Stob. flor. 67, 21 M. **15** Antipater Stob. III p. 12, 1 M. *ἀτελὴς γὰρ* (*οἰκία* addit Arnim) *ὥσπερ πόλις οὐχ ἡ ἐκ γυναικῶν μόνον, ἀλλὰ καὶ ἡ ἐκ ψιλῶν ἀνδρῶν*
18 *οὔτ' ἀναγκαιοτέραν*] cf. Antipater Stob. flor. 67, 25 p. 12, 16 M.

---

3 *τοῦ πλ.* M ‖ **9** *αὑτοῦ* S: *αὐτοῦ* MA; *ἑαυτοῦ* tacite Gesn.[2] p. 413 ‖ **10** *ὑποβλητέον* et mox *ὑποβολῆς* proposuit Meineke vol. IV p. LXXIII, at videatur Stob. III 1, 209 p. 176, 3 H. ‖ **13** *διαμένῃ* A ‖ **14** *δικαία*] primo *καὶ* compendiose scripserat S[1] ‖ **16** *μόνων* utrobique mavult Hirschig ‖ **18** *οὔτ' ἀναγκαιοτέραν*: quia

τέραν οὔτε προσφιλεστέραν. ποῖος γὰρ ἑταῖρος ἑταίρῳ
οὕτω προσηνὴς ὡς γυνὴ καταθύμιος τῷ γεγαμηκότι;
ποῖος δ' ἀδελφὸς ἀδελφῷ; ποῖος δὲ γονεῦσιν υἱός; τίς
δὲ ἀπὼν οὕτω ποθεινὸς ὡς ἀνὴρ γυναικὶ καὶ γυνὴ
5 ἀνδρί; τίνος δὲ παρουσία μᾶλλον ἢ λύπην ἐλαφρύ-
νειεν ἂν ἢ χαρὰν ἐπαυξήσειεν ἢ συμφορὰν ἐπανορθώ-
σειεν; τίσι δὲ νενόμισται κοινὰ εἶναι πάντα, καὶ σώ-
ματα καὶ ψυχαὶ καὶ χρήματα, πλὴν ἀνδρὸς καὶ γυναικός;
ταῦτά τοι καὶ πάντες ἄνθρωποι πρεσβυτάτην νομίζουσι
10 πασῶν τὴν ἀνδρὸς καὶ γυναικὸς φιλίαν· καὶ οὐδὲ
μήτηρ ἢ πατὴρ νοῦν ἔχων οὐδεὶς ἀξιοῖ φίλτερος ⟨εἶναι⟩
τῷ ἑαυτοῦ τέκνῳ τοῦ συνεζευγμένου γάμῳ. καὶ ὁ
λόγος δὲ ἐκεῖνος φαίνεται δηλοῦν, ὅσον προτερεῖ τῆς
γονέων πρὸς τέκνα φιλίας ἡ γυναικὸς πρὸς ἄνδρα,
15 ὅτι Ἄδμητος δόσιν ταύτην λαβὼν παρὰ θεῶν, εἰ παρά-

---

7 ss. Antipater Stob. flor. 67, 25 III p. 12, 30 ss. M. *οὐ γὰρ μόνον τῆς οὐσίας καὶ τῶν φιλτάτων πᾶσιν ἀνθρώποις τέκνων καὶ τῆς ψυχῆς ἀλλὰ καὶ τῶν σωμάτων οὗτοι* (sc. *ἀνὴρ καὶ γυνή*) *μόνοι κοινωνοῦσι.* Hierocles Stob. flor. 67, 24 III p. 10, 9 ss. M. *συμφωνούντων* (sc. *ἀνδρὸς καὶ γυναικός*) *μὲν ἀλλήλοις καὶ πάντα κοινὰ πεποιημένων μέχρι καὶ τῶν σωμάτων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν ψυχῶν* **15** reminiscitur puto Euripidis Alc. 1070 ubi

---

modo dixerat matrimonio sublato tolli etiam iustam liberorum procreationem. contra negat omnia recte hic tradita esse C. Praechter *Hierokles* p. 75 adn. 4 ‖ **1** *ἕτερος ἑτέρῳ* SMA: corr. Gesn.[1] f. 383 mrg. ‖ **3** *δ'* A *δαι* M omisit particulam sed *α* vocis *ἀδελφὸς* ex corr. scripsit S | *τίς δὲ* (ut voluit Nauck) A: *τίς δαὶ* SM ‖ **5** *τίνος δὲ* Gaisford: *τίνος δαὶ* SM *τίς δὲ* A ‖ **7** *τίσι δὲ* A *τίσι* (-*σιν* M) *δαὶ* SM ‖ **9** *σοι* pro *τοι* S ‖ **10** *πασῶν* ex *παντὸς* corr. S[1] ‖ **11** *εἶναι* post *φίλτερος* addidit Nauck ‖ **12** *τῷ ἑαυτοῦ τέκνῳ* SMA: *τῶν ἑαυτοῦ τέκνων* Tr.; *τοῖς ἑαυτοῦ τέκνοις* coni. Geel | *τοῦ συνεζευγμένου* Nauck: *τῷ συνεζευγμένῳ* (*τῷ συνεζευγμενῳ* with *νος* and *ησ* superscr. M[2]) SMA; *καὶ οὐδὲ μ. ἢ π. ν. ἔχων οὐδενὶ* (vel *οὐδεὶς οὐδενὶ*) *ἀξιοῖ φίλτερος τῶν ἑαυτοῦ τέκνων πρὸ τῶν συνεζευγμένων γάμῳ* prop. Iacobs lect. Stob. p. 109 ‖ **14** *ἢ* MA ‖ **15** *Ἄδμητον* A

σχοι τὸν ἀνθ' ἑαυτοῦ τεθνηξόμενον, ζῆσαι διπλασίω χρόνον τοῦ τεταγμένου αὐτῷ, τῶν μὲν γονέων οὐκ ἔτυχεν ἐθελόντων προαποθανεῖν αὐτοῦ καίτοι γεγηρακότων· ἡ γυνὴ δὲ ἡ γαμετὴ Ἄλκηστις, κομιδῇ νέα οὖσα, ἐδέξατο ἑτοίμως τὸν θάνατον πρὸ τοῦ ἀνδρός. 5

Ὅτι δὲ μέγα καὶ ἀξιοσπούδαστον ὁ γάμος ἐστί, καὶ ταύτῃ δῆλον. θεοὶ γὰρ ἐπιτροπεύουσιν αὐτόν, καθὸ νομίζονται παρ' ἀνθρώποις, μεγάλοι· πρώτη μὲν Ἥρα, καὶ διὰ τοῦτο ζυγίαν αὐτὴν προσαγορεύομεν· εἶτα Ἔρως, εἶτα Ἀφροδίτη· πάντας γὰρ τούτους ὑπολαμβάνομεν ἔργον 10 *πεποιῆσθαι τοῦτο, συνάγειν ἀλλήλοις πρὸς παιδοποιίαν ἄνδρα καὶ γυναῖκα. ποῦ μὲν γὰρ Ἔρως παραγένοιτ' ἂν δικαιότερον ἢ ἐπὶ νόμιμον ἀνδρὸς καὶ γυναικὸς ὁμιλίαν; ποῦ δὲ Ἥρα; ποῦ δὲ Ἀφροδίτη; πότε δ' ἂν εὐκαιρότερον εὔξαιτό τις τοῖς θεοῖς τούτοις ἢ πρὸς* 15 *γάμον ἰών; τί δὲ καλοῦντες ἀφροδίσιον ἔργον προσηκόντως ἂν μᾶλλον καλοῖμεν ἢ τὴν γαμετῆς τῷ γεγαμηκότι σύνοδον; διὰ τί τοιγαροῦν φαίη τις ἂν θεοὺς μὲν οὕτω μεγάλους ἐπισκοπεῖν καὶ ἐπιτροπεύειν γάμον καὶ παιδοποιίαν, μὴ προσήκειν δὲ ἀνθρώπῳ ταῦτα; διὰ* 20 *τί δὲ προσήκειν μὲν τῷ ἀνθρώπῳ ταῦτα, μὴ προσήκειν*

Admetum hortatur chorus *χρὴ δ' ὅστις* (malo *εἴ τις*) *εἶ σύ, καρτερεῖν θεοῦ δόσιν* **6** ss. Hieronym. adv. Iovinian. II 48 (Chrysippi fragm. mor. 727 Arn.) *Ridicule Chrysippus ducendam uxorem sapienti praecipit, ne Iovem Gamelium et Genethlium violet*

---

1 *διπλάσιον* Gaisford ‖ **5** *ἑτοίμως* SM: *προθύμως* A idque recepit Meineke fort. recte, cf. p. 79, 11 ‖ **7** *ταύτην* A | *νομίζεται* prop. Zeller *phil. der Gr.*[3] III 1 p. 732 adn. 5 ‖ **9** *ζυγίαν* ex *συζυγίαν*, quod scribere instituerat, correxit S *ἀζυγίαν* Tr. | *εἶτ'* ante *Ἀφρ.* M ‖ **11** *πεποιῆσθαι*] litt *ιῆ* in ras. M[2] ‖ **12** v. *ἔρως* et (**14**) *Ἥρα* sedem mutare iubet Meineke cf. 8 s. | *παραγένοιτ'* A: *παραγίνοιτ'* SM ‖ **16** *δὲ* A *δαὶ* SM ‖ **19** *οὕτωσ* M ‖ **20** *δαὶ* pro *δὲ* M

δὲ τῷ φιλοσόφῳ; πότερον ⟨ὅτι⟩ κακίω εἶναι χρὴ τῶν ἄλλων τὸν φιλόσοφον; ἀλλ' οὐ χρή, κρείττω δὲ καὶ δικαιότερον καὶ καλοκἀγαθικώτερον. ἢ ὅτι κακίων οὐκ ἔστι καὶ ἀδικώτερος ἀνὴρ τοῦ μὲν κηδομένου τῆς
5 *ἑαυτοῦ πόλεως ὁ μὴ κηδόμενος, τοῦ δὲ τὸ κοινὸν σκοποῦντος ὁ τὸ αὑτοῦ μόνον ὁρῶν; ἢ ὅτι φιλόπολις καὶ φιλάνθρωπος καὶ κοινωνικὸς μᾶλλον ἐστὶν ὁ μονήρη βίον αἱρούμενος τοῦ νέμοντος οἶκον καὶ ποιουμένου παῖδας καὶ πόλιν αὔξοντος τὴν ἑαυτοῦ, ἅπερ ὑπάρχει*
10 *τῷ γαμοῦντι; ὅτι μὲν οὖν προσήκει τὸν φιλόσοφον γάμου καὶ παιδοποιίας ἐπιμελεῖσθαι, δῆλον. εἰ δὲ προσήκει τοῦτο, πῶς ἂν ὀρθῶς ἔχοι, ὦ νεανίσκε, ὁ λόγος ἐκεῖνος, ὃν σὺ ἀρτίως ἔλεγες, ὡς ἐμπόδιόν ἐστι τῷ φιλοσόφῳ γάμος; οὐ γὰρ δὴ φιλοσοφεῖν ἕτερόν τι*
15 *φαίνεται ὂν ἢ τὸ ἃ πρέπει καὶ ἃ προσήκει λόγῳ μὲν ἀναζητεῖν, ἔργῳ δὲ πράττειν. Τότε μὲν δὴ τοιαῦτά τινα εἶπεν.*

---

14 ss. Diog. Laert. VII 92 *Παναίτιος μὲν οὖν δύο φησὶν ἀρετάς, θεωρητικὴν καὶ πρακτικήν.* Seneca ep. 95, 10 *philosophia autem et contemplativa est et activa: spectat simul agitque* id. de otio 5

---

1 *ὅτι* addidi | *κακίω*] ω in ras. M² ‖ **2** *δὲ* SM: *γὰρ* A ‖ **3** *κακίων*] ω in ras. M² ‖ **4** *ἂν ἀνὴρ* A ‖ **5** *φειδόμενος* A ‖ **6** *αὐτοῦ* M ‖ **9** *πόλιν ἄξιον αὔξοντος* A ‖ **14** exspectes *τῷ φιλοσοφεῖν γάμος* coll. p. 70, 12 | *γάμος* ex *λόγος* corr. S¹ | *δεῖ* M¹ ‖ **17** plenam et integram hanc dissertationem conservatam esse putat Pflieger p. 48

XV[A].

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΕΙ ΠΑΝΤΑ ΤΑ ΓΙΝΟΜΕΝΑ ΤΕΚΝΑ ΘΡΕΠΤΕΟΝ.

Οἱ δὲ νομοθέται, οἷς αὐτὸ τοῦτο γέγονεν ἔργον ζητεῖν καὶ σκοπεῖν, τί μὲν ἀγαθὸν πόλει τί δὲ κακόν, 5 *καὶ τί μὲν ὠφελεῖ τί δὲ βλάπτει τὸ κοινόν, οὐχὶ δὲ καὶ οὗτοι πάντες συμφορώτατον μὲν ταῖς πόλεσιν ἐνόμισαν τὸ πληθύνεσθαι τοὺς τῶν πολιτῶν οἴκους, βλαβερώτατον δὲ τὸ μειοῦσθαι; καὶ ἀπαιδίαν μὲν ἢ ὀλιγοπαιδίαν τῶν πολιτῶν ὑπέλαβον εἶναι ἀλυσιτελές, τὸ* 10 *δὲ ἔχειν παῖδας καὶ νὴ Δία πολλοὺς ἔχειν εἶναι λυσιτελές; τοῦτο μὲν γὰρ ἀμβλίσκειν ἀπεῖπον ταῖς γυναιξὶ καὶ ταῖς ἀπειθούσαις ζημίαν ἐπέθεσαν, τοῦτο δ' ἀτοκίᾳ προστίθεσθαι καὶ τὴν κύησιν εἴργειν ἀπηγόρευσαν αὐταῖς, τοῦτο δὲ πολυπαιδίας ἔταξαν γέρα καὶ ἀνδρὶ* 15

---

3 integra si aetatem tulisset haec diatriba, quin offerret etiam argumenta ex humanitate petita eorumque similia, quibus utitur Philo (de leg. spec. 20 p. 318 s. M. de caritate 17 p. 397 M.), non dubitat Wendland *Philo und die kynisch-stoische diatribe* p. 38. cf. Hierocles Stob. flor. 75, 14 M. **4** cf. Aristo Stobaei flor. 67, 16 Plut. de amore prolis 2 p. 493 E Clem. Alex. strom. II p. 504 s. P. **8** *πληθύνεσθαι*] cf. Clem. Alex. paed. II 95 p. 227 P.

---

1 Stobaeus flor. 75, 15 Mein. ecl. cum lemm. hab. SMA; *Μουσωνίου* nec plura S. *γιγν-* libri p. 80, 3 *θρεπτέον* M *θεραπευτέον* A ‖ **5** *δὲ* MA *δαὶ* S ‖ **6** *δὲ* delet A[2] ‖ **11** *ἔχειν εἶναι* M: *ἔχειν* S *εἶναι* A ‖ **12** *ἀμβλήσκειν ἀπεῖπον* M Tr. *ἀμβλήσκειν* [απ]*εἶπον* corr. S[1] *ἀμβλίσκειν* [ἀπ]*εἶπον* A superscr. A[2] ‖ **13** *δ'* S *δὲ* MA | *ἀτοκία* sed alterum *α* rescripsit A[2]

καὶ γυναικί, καὶ τὴν ἀπαιδίαν ἐπιζήμιον κατέστησαν. πῶς οὖν οὐκ ἂν ἡμεῖς ἄδικα καὶ παράνομα δρῷμεν ἐναντία δρῶντες τῇ βουλήσει τῶν νομοθετῶν, θείων καὶ θεο-φιλῶν ἀνδρῶν, οἷς ἕπεσθαι νομίζεται καλὸν καὶ συμφέ-
5 *ρον; δρῷμεν δ' ἂν ἐναντία τὴν πολυπαιδίαν τὴν ἑαυ-τῶν κωλύοντες. πῶς δ' οὐχὶ καὶ εἰς τοὺς πατρῴους θεοὺς ἐξαμαρτάνοιμεν ἂν καὶ εἰς τὸν ὁμόγνιον Δία ταῦτα πράττοντες; ὥσπερ γὰρ ὁ περὶ ξένους ἄδικος εἰς τὸν ξένιον ἁμαρτάνει Δία, καὶ ὁ περὶ φίλους εἰς*
10 *τὸν φίλιον, οὕτως ὅστις εἰς τὸ ἑαυτοῦ γένος ἄδικος, εἰς τοὺς πατρῴους ἁμαρτάνει θεοὺς καὶ εἰς τὸν ὁμό-γνιον Δία, τὸν ἐπόπτην τῶν ἁμαρτημάτων τῶν περὶ τὰ γένη· ὁ δέ γε περὶ τοὺς θεοὺς ἁμαρτάνων ἀσεβής. καὶ μὴν ὅτι καλὸν καὶ λυσιτελὲς παίδων ἀνατροφὴ*
15 *πολλῶν μάθοι τις ἂν λογισάμενος, ὡς μὲν ἔντιμος ἐν πόλει πολύπαις ἀνήρ, ὡς δ' αἰδῶ παρέχει τοῖς πλη-σίον, ὡς δὲ δύναται πλέον πάντων τῶν ὁμοίων, ἄν γε μὴ ὁμοίως παίδων εὐπορῶσιν. καθάπερ γάρ, οἶμαι, πολύφιλος ἀφίλου ἀνδρὸς δυνατώτερος, οὕτω καὶ πολὺ*
20 *μᾶλλον ὁ πολύπαις τοῦ μὴ ἔμπαιδος ἢ τοῦ ὀλίγους κεκτημένου παῖδας, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ περ*

---

7 ss. cf. Dio Prus. I 39 vol. I p. 7, 23 Arn. Arr. Epict. diss. III 11, 5 s. Schol. Eur. Hec. 342 **19** *τὴν πολυφιλίαν ἀγαθὸν* putant Stoici: Diog. Laert. VII 124

---

2 *πῶς οὖν οὐκ ἂν ἡμεῖς* SM *οὖν* primo omissum compendiose inseruit S[1] *πῶς οὖν ἡμεῖς οὐκ ἂν* A; *πῶς δ' οὖν οὐκ ἂν ἡμεῖς* Tr. | *δρωμεν* SMA sed *ῷ* corr. A[2] sic ut etiam 5 ‖ **5** *δρῶμεν* SMA | *δ'* om. A[1] ‖ **7** *δῖα* (*δια* M) *ταῦτα* SM *τὰ τοιαῦτα* A; *Δία τὰ τοιαῦτα* immerito Meineke ‖ **9** *εἰς τὸν ξένιον* repetiit A in initio f. 150[r] ‖ **13** *τοὺς* om. A, aberravit Gaisford ‖ **14** *ὅτι* SM *τὸ* A[1] *ὅτι γε* A[2] ‖ **16** *περιέχει* A[1] ‖ **19** *πολὺ φίλος* A[1] ‖ **20** *τοῦ μὴ ἄπαιδος* Tr. p. 426 unde tacite *τοῦ ἄπαιδος* Gesn.[1] f. 410[v]

ἐγγύτερον υἱὸς ἑκάστῳ ἢ φίλος. ἄξιον δὲ νοῆσαι ποιόν τι καὶ θέαμά ἐστιν ἀνὴρ πολύπαις ἢ γυνὴ σὺν ἀθρόοις δρώμενοι τοῖς ἑαυτῶν παισίν· οὔτε γὰρ πομπὴν πεμπομένην θεοῖς οὕτω καλὴν θεάσαιτ' ἄν τις οὔτε χορείαν ἐπὶ ἱεροῖς κόσμῳ χορευόντων οὕτως ἀξιοθέατον, 5
ὡς χορὸν παίδων πολλῶν προηγουμένων ἐν πόλει πατρὸς τοῦ ἑαυτῶν ἢ μητρός, ⟨καὶ⟩ χειραγωγούντων τοὺς γονεῖς ἢ τρόπον ἕτερον περιεπόντων κηδεμονικῶς. τί μὲν τούτου κάλλιον τοῦ θεάματος; τί δὲ τῶν γονέων τούτων ζηλωτότερον, ἄλλως τε κἂν ἐπιεικεῖς ὦσι; 10
τίσι δ' ἂν ἄλλοις οὕτω προθύμως ἢ συνεύξαιτό τις ἀγαθὰ παρὰ θεῶν, ἢ συμπράξειεν αὐτοῖς εἰς ὅ τι δέοιντο; 'νὴ Δία·' φησίν ⟨'ἀλλὰ ...'⟩.

---

8 Hierocles Stob. flor. 75, **14** III p. 72, 17 ss. M. *καλὸν δὲ πάππος ὑπὸ σφετέρων ἐκγόνων χειραγωγούμενός τε καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιούμενος*

---

3 *ὁρωμένη* male Gesn.[3] p. 450 | *ἑαυτὸν* A[1] ‖ **5** *χορευτῶν* SM *χορευόντων* A ‖ **7** *καὶ* addidit A[2] ‖ **9** *δὲ* A: *δαί* S *δαὶ* M ‖ **11** *τίσι* SM *τοῖσι* A corr. A[2] ‖ **12** post *δέοιντο* addunt *νὴ Δία* (*δῖα* M) *φησίν* (*φησὶ* A): ⁓ MA sed punctis notata A, om. S. temere haec abiecerunt editores . concesserat per *νὴ Δία* fictus adversarius priora, idem per *ἀλλὰ*, quod addidi, aliquid opposuisse censendus est ab excerptore nunc omissum (vide p. 65, 2 et quae dixi ad Stob. vol. III p. 287, 7), velut paupertatem dissuadere, ne quis liberos educet omnes, cf. Plut. de amore prolis p. 497 E *οἱ μὲν γὰρ πένητες οὐ τρέφουσι τέκνα, φοβούμενοι μὴ χεῖρον ἢ προσήκει τραφέντα δουλοπρεπῆ καὶ ἀπαίδευτα καὶ τῶν καλῶν πάντων ἐνδεᾶ γένηται κτέ.* hoc quasi inani praetextu remoto pergere poterat Musonius p. 80, 4 *ὃ δέ μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προφασίζεσθαι ἔχοντες, ἀλλ' εὔποροι χρημάτων ὄντες κτέ.* vide etiam Hieroclem Stob. flor. 75, 14 p. 72, 7 ss. M., quo duce sententiam perspexit nuper etiam Praechter *Hierokles* p. 86

XV[B].

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΕΙ ΠΑΝΤΑ ΤΑ ΓΙΓΝΟΜΕΝΑ ΤΕΚΝΑ ΘΡΕΠΤΕΟΝ.

Ὃ δέ μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προ-
5 *φασίζεσθαι ἔχοντες, ἀλλ' εὔποροι χρημάτων ὄντες, τινὲς*
δὲ καὶ πλούσιοι, τολμῶσιν ὅμως τὰ ἐπιγινόμενα τέκνα
μὴ τρέφειν, ἵνα τὰ προγενόμενα εὐπορῇ μᾶλλον, ἐξ
ἀνοσίου μηχανώμενοι τὴν εὐπορίαν τοῖς παισίν [ἐξ
ἀδελφῶν φόνου]· οἵ γε ἀναιροῦσιν αὐτῶν τοὺς ἀδελ-
10 *φούς, ἵν' ἐκεῖνοι μερίδα μείζω τῶν πατρῴων ἔχωσι·*
κακῶς εἰδότες, ὅσῳ κρεῖττον ⟨τὸ⟩ πολλοὺς ἔχειν ἀδελ-
φοὺς τοῦ πολλὰ ἔχειν χρήματα. χρήματα μὲν γὰρ
ἐπιβουλὰς ἐγείρει παρὰ τῶν πλησίον· οἱ δ' ἀδελφοὶ
τοὺς ἐπιβούλους ἀνείργουσι. καὶ τὰ μὲν αὐτὰ δεῖται
15 *βοηθείας· οἱ δ' ἀδελφοὶ βοηθοί εἰσι κράτιστοι. καὶ*

---

14 Xen. apomn. II 3, 1 *τῶν μὲν* (sc. *τῶν χρημάτων*) *βοηθείας δεομένων, τοῦ δὲ* (sc. *τοῦ ἀδελφοῦ*) *βοηθεῖν δυναμένου* **15** ss. cf. Antisthenes Diogenis Laert. VI 6 *ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς ἔφη τείχους ἰσχυροτέραν εἶναι*

---

1 Stobaeus flor. 84, 21 M. ecl. cum lemm. hab. SLMA; *γιγνόμενα* (*γιγ ὄμενα* L) om. S, *κδ* in marg. L rubr. ‖ **5** *δὲ καὶ* SLM: *δὲ πάλιν καὶ* A; *πάνυ* pro *πάλιν* coni. Meineke. vix subest *τινὲς δὲ καὶ πάνυ πλούσιοι* vel *τ. δὲ καὶ παμπλούσιοι* ‖ **6** *ὅμως τολμῶσι* S | *τὰ* om. L | *ἐπιγιγνόμενα* L ‖ **7** *εὐπορῶσι* A ‖ **8** v. *ἐξ ἀδελφῶν φόνου* seclusit Meineke ‖ **10** *ἵνα* L ‖ **11** *κρεῖττον τὸ* Cobet Mnemos.[2] II p. 434: *κρεῖττον* LM *κρείττω* S, ex em. A ‖ **11** *ἔχειν* [β] *πολλοὺς* [α] A ‖ **12** *μὲν γὰρ* SA: *μέν γε* LM ‖ **13** *τῶν* SLM: *τῶν ὄντων* A ‖ **15** *βοηθείας* SLM: *παιδείας* A | v. *καὶ οὔτε* — p. 81 l. 2 *τῇ ἀπ' ἀδελφῶν* in integrum restituere nemini adhuc contigit. parum adrident talia *καὶ οὔτε φίλον ἀγαθὸν*

οὔτε φίλον ἀγαθὸν ἀδελφῷ παρὰ τὸν †ἀπὸ ἀνθρώπων ἑτέρων ὁμοίων τε καὶ ἴσων τῇ ἀπ' ἀδελφῶν. τί δ' ἄν τις παραβάλοι καλὸν εὐνοίᾳ τῇ ἐξ ἀδελφοῦ εἰς ἀσφαλείας λόγον; τίνα δὲ κοινωνὸν ἀγαθῶν εὐμενέστερον σχοίη τις ἂν ἢ ἀδελφὸν ἐπιεικῆ; τίνος δὲ παρουσίαν ἐν συμφοραῖς μᾶλλον ποθήσειεν ἂν ἢ τοιούτου ἀδελφοῦ; ἐγὼ μὲν ἀξιοζηλότατον ἡγοῦμαι τὸν ἐπὶ πλήθει ἀδελφῶν ὁμονοούντων βιοῦντα· καὶ θεοφιλέστατον εἶναι νομίζω τὸν ἄνδρα τοῦτον οἴκοθεν ἔχοντα τἀγαθά. διὸ καὶ νομίζω δεῖν ἕκαστον ἡμῶν τοῖς αὑτοῦ παισὶ πειρᾶσθαι χρημάτων μᾶλλον ἀπολείπειν ἀδελφούς, ὡς ἀφορμὰς ἀγαθῶν ἀπολείψοντα μείζονας.

XVI.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΕΙ ΠΑΝΤΑ ΠΕΙΣΤΕΟΝ ΤΟΙΣ ΓΟΝΕΥΣΙΝ.

Νεανίας τις, ὃν ὁ πατὴρ φιλοσοφεῖν βουλόμενον

---

16 Gell. II 7 Hos. *Quaeri solitum est in philosophorum discepta-*

ἀδελφῷ ⟨παραβάλλων κρίνοι τις ἂν ὀρθῶς οὔτε τὴν εὔνοιαν τὴν⟩ παρὰ τῶν [ἀπὸ] ἄλλων ἑταίρων ὁμοιῶν τε καὶ ἰσῶν τῇ ἀπ' ἀδελφῶν ‖ 1 παρὰ τὸν (τὸ sed in ras. L) libri, quamquam eo compendio exaratum in S ut etiam παρὰ τῶν esse possit, τὸν omisit sed signata lacuna Tr. p. 455 ‖ 2 ἑτέρων SA ἕτερον M ἑταῖρον L ‖ 3 παραβάλλοι A | καλὸν SMA καὶ L. καλὸν tamquam lectoris additamentum expungi iubet Cobet mnemos.[2] II p. 435 | τῇ ἐξ ἀδελφοῦ (-φῶν L) SLM τῇ γ' ἐξ ἀδελφοῦ fuit in A ‖ 4 δαὶ M | ἀγαθὸν S ‖ 11 αὑτοῦ S αὐτοῦ LMA ‖ 12 ἀγαθῶν ex -θὰς corr. S[1] | ἀπολείψαντα L ‖ 16 Stobaeus flor. 79, 51 M. ecl. cum lemm. hab. SMA, *Μουσωνίου* nec plura S. hic ut alibi in Musonii excerptis interpunctionem correxit A[2] ‖ 17 ὃν ex ὧν radendo corr. M[2] | βουλόμενον SA -οσ M

ἐκώλυεν, ἤρετο αὐτὸν ὧδέ πως· Ἆρά γε, ὦ Μουσώνιε, χρὴ πάντα πείθεσθαι τοῖς γονεῦσιν, ἢ ἔστιν ἃ καὶ παρακουστέον αὐτῶν; Καὶ ὁ Μουσώνιος· Πείθεσθαι μέν, ἔφη, μητρὶ ἢ πατρὶ τῷ ἑαυτοῦ ἕκαστον φαίνεται
5 καλόν, καὶ ἐπαινῶ ἔγωγε. τί μέντοι τὸ πείθεσθαί ἐστι, θεασώμεθα· μᾶλλον δὲ πρότερον τὸ ἀπειθεῖν ὁποῖόν τι, καὶ ὁ ἀπειθὴς ὅστις, καταμάθωμεν, εἶθ' οὕτως κρεῖττον ὀψόμεθα τὸ πείθεσθαι ὁποῖόν τί ἐστι. φέρε δή, εἰ υἱῷ νοσοῦντι ὁ πατὴρ οὐκ ὢν ἰατρὸς οὐδὲ ἔμπειρος
10 ὑγιεινῶν τε καὶ νοσερῶν προστάττοι τι ὡς ὠφέλιμον, τὸ δὲ εἴη βλαβερὸν καὶ ἀσύμφορον, καὶ μὴ λανθάνοι τὸν νοσοῦντα τοιοῦτον ὄν, ἆρά γε μὴ πράττων ἐκεῖνος τὸ προσταχθὲν ἀπειθεῖ τε καὶ ἀπειθής ἐστιν; ἀλλ' οὐκ ἔοικεν. τί δέ, εἴ του ὁ πατὴρ νοσῶν αὐτὸς οἶνον ἢ
15 τροφὴν αἰτοίη παρὰ καιρόν, μέλλων εἰ λάβοι μείζω τὴν νόσον ποιεῖν, ὁ δὲ παῖς τοῦτο εἰδὼς μὴ διδοίη, ἆρά γε ἀπειθεῖ τῷ πατρί; οὐκ ἔστιν εἰπεῖν. καὶ πολύ γε τούτου ἧττον ἐκεῖνον, οἶμαι, φαίη ἄν τις ἀπειθῆ εἶναι, ὅστις πατέρα φιλοκερδῆ ἔχων, κελευόμενος ὑπ'

---

tionibus, an semper inque omnibus iussis patri parendum sit. super ea re Graeci nostrique, qui de officiis scripserunt, tres sententias esse, quae spectandae considerandaeque sint, tradiderunt easque subtilissime diiudicarunt. earum una est: omnia, quae pater imperat, parendum; altera est: in quibusdam parendum, in quibusdam non obsequendum e. q. s. cf. Aristot. eth. Nic. 9, 2 p. 1164 b 22 ss. Hierocles comm. in aur. carm. p. 426 b 11 ss.

---

1 ἤρετο A, ex corr. S εἴρετο S[1]M ‖ 4 φαίνεται SMA μοι supra lin. add. A[2] ‖ 8 κρεῖττον sup. lin. add. S[1], om. Tr. p. 434 ‖ 9 υἱῷ (praetuli ὑῷ) Iacobs lect. Stob. p. 121: τῶι vel τῷ libri | ὢν SA ἂν M ‖ 10 προστάττει et 11 λανθάνει A ‖ 13 ἀπειθεῖ A (γ supra lin.) fort. A[1] ‖ 14 τί δὲ A τί δαι S τί δαὶ M | 15 αἰτοίη A αἰτοῖ M αἰτεῖ S | λάβη A[1] ‖ 16 τὴν νόσον μείζω S | διδοῖ S ‖ 17 ἀπιθεῖ A[1] ει ex ι fecit A[2]

*αὐτοῦ κλέπτειν ἢ παρακαταθήκην ἀποστερεῖν, οὐχ
ὑπουργεῖ τῷ προστάγματι. ἢ οὐκ οἴει σύ τινας εἶναι
πατέρας, οἳ τοιαῦτα τοῖς ἑαυτῶν παισὶ προστάττουσιν;
ἐγὼ μὲν γὰρ οἶδά τινα οὕτω πονηρόν, ὅς γε υἱὸν ἔχων
ὡραῖον τὴν ὥραν ἀπέδοτο αὐτοῦ. εἰ οὖν ἐκεῖνο τὸ* 5
*μειράκιον τὸ πεπραμένον, πεμπόμενον ὑπὸ τοῦ πατρὸς
ἐπὶ τὴν αἰσχύνην, ἀντέλεγε καὶ οὐκ ἀπήει, πότερον
ἀπειθὲς ἂν τὸ μειράκιον ἔφαμεν εἶναι ἢ σωφρονεῖν;
ἢ οὐδὲ ἐρωτᾶν τοῦτό γε ἄξιον; καὶ γὰρ δὴ τὸ μὲν
ἀπειθεῖν καὶ ὁ ἀπειθὴς λοιδορία ἐστὶ καὶ ὄνειδος· τὸ* 10
*δὲ μὴ πράττειν ἃ μὴ χρὴ οὐκ ὄνειδος, ἀλλ' ἔπαινος.
ὥστε εἴτε πατρὸς εἴτε ἄρχοντος εἴτε καὶ νὴ Δία δε-
σπότου προστάγματι μὴ ὑπουργεῖ τις κακὰ προστάτ-
τοντος ἢ ἄδικα ἢ αἰσχρά, οὐκ ἀπειθεῖ οὐδαμῶς, ὥσπερ
οὐδ' ἀδικεῖ οὐδ' ἁμαρτάνει· ἀλλ' ἐκεῖνος ἀπειθεῖ μόνος* 15
*ὁ τῶν εὖ καὶ καλῶς καὶ συμφερόντως προστασσομένων
ἀφροντιστῶν καὶ παρακούων. ὁ μὲν οὖν ἀπειθὴς τοι-
οῦτός τίς ἐστιν· ὁ δ' εὐπειθὴς ἔχει μὲν ἐναντίως τούτῳ
καὶ ἔστιν ἐναντίος, εἴη δ' ἂν ὁ τῷ τὰ προσήκοντα
παραινοῦντι κατήκοος ὢν καὶ ἑπόμενος ἑκουσίως, οὗτος* 20
εὐπειθής. ὅθεν καὶ γονεῦσι τοῖς ἑαυτοῦ τότε πείθε-

---

4 cf. Senecae epist. 101, 15

---

1 *ἀποστερεῖν* A, ex *-ῶν* fecit S^1 *ἀποστερνεῖν* M ‖ 4 *γὰρ* om. Tr. | *ὥστε* ex *ὅς γε* corr. A^2 ‖ 6 *πεπραμένον* M ex *πεπραμμένον* corr. S^1 ex *πεπραιμένον* vel *πεπραγμ-* A^2 *πεπραγμένον* Tr. ‖ 7 *ἀπήει* ex *ἀπείη* S^1 ‖ 8 *ἀπιθὲς* S | *ἂν τὸ* SM *τὸ* A; *αὐτὸ* Tr., inde *αὐτῷ* Gesn.[2] p. 458 | *ἔφαμεν* SMA *ἂν* superscr. A^2 ‖ 9 *δὴ* SA^2 in ras. corr. M^2 *δεὶ* A^1 | *τὸ μὲν ἀπειθεῖν καὶ ὁ ἀπειθὴς λοιδορία* SM *τὸ μὲν ἀπιθεῖν . καὶ ὅσ̈ ἀπειθὴς λοιδορία* A^1 *τὸ μὲν ἀπειθεῖν ὅσα οὐκ ἀπειθεῖν δεῖ λοιδορία* A^2 ‖ 14 *ἀπιθεῖ* A^1 ‖ 15 *ἀπιθεῖ* A^1 corr. A^2 ‖ 18 *τις* om. A ‖ 19 *ἔστιν ἐναντίος* libri, sed *ἐναντίως* A^1 | *ὅτω* S ‖ 20 *ὢν* SMA *ἐστι* A^2

ταί τις, ὅταν χρηστὰ παραινούντων αὐτῶν ταῦτα πράττῃ ἑκών. ἐγὼ μέντοι κἂν μὴ παραινούντων τῶν γονέων πράττῃ τις ἃ χρὴ καὶ συμφέρει αὐτῷ, φημὶ τοῦτον πείθεσθαι τοῖς γονεῦσιν· καὶ ὅτι ὀρθῶς φημι, 5 σκόπει οὕτως. ὁ γὰρ δὴ πράττων ἃ βούλεται ὁ πατὴρ καὶ τῇ βουλήσει τοῦ πατρὸς ἑπόμενος πείθεται, οἶμαι, τῷ πατρί· ὁ δὲ πράττων ἃ δεῖ καὶ ἃ κρεῖττόν ἐστι, τῇ βουλήσει ἕπεται τοῦ πατρός. τίνα τρόπον; ὅτι πάντες οἱ γονεῖς εὐνοοῦσι δήπου τοῖς ἑαυτῶν παισίν, εὐνο- 10 οῦντες δὲ βούλονται ἃ χρὴ καὶ συμφέρει πράττεσθαι ὑπ' αὐτῶν. ὅστις οὖν πράττει τὰ προσήκοντα καὶ τὰ συμφέροντα, πράττει οὗτος ἃ βούλονται οἱ γονεῖς. ὥστε πείθεται τοῖς γονεῦσι ταῦτα πράττων, κἂν μὴ τῷ λόγῳ κελεύωσιν αὐτὰ πράττειν οἱ γονεῖς. τοῦτο 15 δὴ μόνον προσήκει σκοπεῖν, ὅστις βούλεται πείθεσθαι τοῖς γονεῦσιν ἐφ' ἑκάστῳ τῶν πραττομένων, εἰ καλὸν καὶ συμφέρον ὃ μέλλει πράξειν ἐστίν, ἕτερον δὲ οὐδέν, ὡς ἂν ὑπάρχῃ τοιοῦτον εὐθὺς καὶ τοῦ πράττοντος αὐτὸ πειθομένου τοῖς γονεῦσιν. μὴ τοίνυν σύ γε δεί- 20 σῃς, ὦ νεανίσκε, ὡς ἀπειθήσεις τῷ πατρί, ἂν ᾖ ἃ ⟨μὴ⟩

---

1 χρεῖστὰ (η superscr.) A corr. A[1] ‖ 2 κἂν SM καὶ A ‖ 3 πράττῃ (vel ῃ) MATr. πράττει S ἂν superscr. A[2] | αὐτῷ S αὐτῶ M ἑαυτῷ A ‖ 4 ὅτι SMA[2] ὁ (τι superscr.) id est τὸ A[1] ‖ 6 καὶ ex praecedenti pagina repetitum est S ubi a v. καὶ τῇ βουλήσει inc. f. 135[r]; καὶ ἐν τῇ βουλήσει Tr. ‖ 7 καὶ ⟨δι'⟩ ἃ κρεῖττον ἔσται (sc. αὐτῷ) coni. Iacobs lect. Stob. p. 121, praeter necessitatem, ut monuit Halm lect. Stob. p. 7: ἃ est accusativus ut in ἃ δεῖ verbis. καὶ ⟨δι'⟩ ἃ κρείττων ἔσται aut titubante memoria Iacobsio tribuit Meineke flor. v. III p. XIX aut tacite eius conatum reddens commodiorem ‖ 12 οὗτος ex οὕτως corr. A[1] ‖ 15 προσήκειν A | ὅστις libri; οἵτις Tr., inde εἴτις Gesn.[1] f. 416[v] ‖ 18 ὑπάρχοι A[1] ‖ 19 αὐτὸ ex αὐτῷ corr. S[1] ‖ 20 ἂν ᾖ ἃ μὴ Tr. p. 436: ἀν'ῆ ἃ S ἀνῆα M ἂν μὴ ἃ A

προσήκει δρᾶν κελεύοντος τοῦ πατρὸς ἀπέχῃ τοῦ ταῦτα
δρᾶν, ἢ ἃ προσήκει ἀπαγορεύοντος, ⟨τοῦ⟩ ταῦτα μὴ
δρᾶν. μηδέ σοι πρόφασις ἔστω τοῦ ἁμαρτάνειν ὁ
πατὴρ ἢ κελεύων τι τῶν πράττεσθαι μὴ καλῶν ἢ ἀπα-
γορεύων τι τῶν καλῶν. οὐδεμία γὰρ ἀνάγκη σοι τὰ 5
μὴ εὖ προσταττόμενα ὑπουργεῖν· καὶ τοῦτό μοι δοκεῖς
οὐδ' αὐτὸς ἀγνοεῖν. οὔκουν ἀνέξῃ τοῦ πατρὸς ἐν
μουσικοῖς, ἐὰν ἐκεῖνος οὐκ ἐπαΐων μουσικῆς προστάττῃ
κρούειν ἀμούσως τὴν λύραν, ἢ ἐπιστάμενον γράμματα
οὐκ ἐπιστάμενος κελεύῃ σε γράφειν καὶ ἀναγινώσκειν 10
μὴ ὡς ἔμαθες, ἀλλ' ἑτέρως· οὐδέ γε ἂν ἐπιστάμενον
κυβερνᾶν οὐκ ὢν κυβερνητικὸς κελεύῃ σε κινεῖν τὸ
πηδάλιον ὡς οὐ προσήκει, οὐ προσέξεις αὐτῷ. τί οὖν;
ταῦτα μὲν ταύτῃ ἔχει· ἂν δέ σε κωλύῃ φιλοσοφεῖν ὁ
πατὴρ εἰδότα καὶ ἀκηκοότα ὁποῖόν τι φιλοσοφία ἐστίν, 15
αὐτὸς ἀγνοῶν, ἆρά γε προσεκτέον αὐτῷ, ἢ μεταδιδα-
κτέον μᾶλλον αὐτὸν ὡς οὐκ εὖ σοι παραινεῖ; ἐμοὶ
μὲν οὕτω δοκεῖ. τάχα μὲν οὖν τις καὶ λόγῳ χρώμενος
μόνῳ πείσειεν ἂν τὸν αὑτὸς αὑτοῦ πατέρα διανοεῖ-
σθαι ᾗ προσήκει περὶ φιλοσοφίας, ἄν γε μὴ τέλεον ᾖ 20
σκληρὸς τὴν φύσιν ὁ πατήρ. εἰ δ' οὖν μὴ πείθοιτο
τῷ λόγῳ μηδὲ ἕποιτο, ἀλλά τά γε ἔργα πάντως τὰ τοῦ

---

2 τοῦ addidi ‖ 3 δρᾶν A Tr.: δρᾷ SM ‖ 4 ἢ ante κελ. om. A ‖ 6 προσταττόμενα SM πραττόμενα A ‖ 7 ἐν μουσικοῖς SM ὢν μουσικὸς A[2] ‖ 8 προστάττῃ libri, sed A ex corr. manus sec. ‖ 9 κρούων A[1] | ἀμούσως ex ἀμοῦσος corr. M[1] ‖ 10 κελεύει A ‖ 11 γε libri, nisi quod γὰρ A[1] ‖ 12 κινεῖν SMA sed litt. κ et ν suppunxit S ‖ 13 οὐ (ante προσέξεις) om. A[2] ‖ 14 κωλύει A[1] ‖ 16 αὐτω sine acc. S ‖ 19 τὸν αὐτὸς SM αὐτὸς τὸν A | αὑτοῦ SA[2] αὐτοῦ M ‖ 20 ἢ (ᾗ scr. Gesn.[1]) προσήκει περὶ φιλοσοφίας, ἄν SM: περὶ φιλοσοφίας ὅσα δὴ προσήκει ἂν A cui frustra obsecutus est Meineke | γε μὴ SM: μή γε A ‖ 21 εἰ δ' A εἰ δ M ἦν S | πείθοιτο τῷ λόγῳ Halm lect. Stob. p. 7: πείθοι τῷ (τῶ M) λόγῳ (vel -ω) SM πείθοιτο λόγῳ A ‖ 22 ἕποιτο S: ἔσοιτο MA[1]

παιδὸς ὑπάξεται αὐτόν, εἰ φιλοσοφεῖ τῇ ἀληθείᾳ ὁ
παῖς. ἔσται γὰρ δὴ φιλοσοφῶν προθυμότατος μὲν
θεραπεύειν τὸν πατέρα θεραπείαν ἅπασαν, κοσμιώτα-
τος δὲ καὶ πρᾳότατος, ἐν τῇ συνουσίᾳ ἥκιστα φίλερις
5 ὢν ἢ φίλαυτος καὶ οὔτε προπετὴς οὔτε ταραχώδης
οὔτ' ὀργίλος· ἔτι δὲ ἐγκρατὴς μὲν εἴη ἂν γλώσσης,
γαστρός, ἀφροδισίων, καρτερικὸς δὲ πρὸς τὰ δεινὰ καὶ
τοὺς πόνους· καὶ νοῆσαι μὲν ὅ τι καλὸν ἱκανώτατος,
οὐχ ὑπερβαίνων δὲ τὸ φαινόμενον καλόν. ὅθεν καὶ
10 τῶν μὲν ἡδέων ὑφήσεται τῷ πατρὶ πάντων ἑκών· τὰ
δὲ ἐπίπονα πρὸ ἐκείνου δέξεται αὐτός. τοιοῦτον οὖν
υἱὸν τίς μὲν οὐκ ἂν ἔχειν εὔξαιτο τοῖς θεοῖς; τίς δὲ
ἔχων οὐκ ⟨ἂν⟩ ἀγαπήσειεν, δι' ὃν ὑπάρξειεν αὐτῷ ζηλωτὸν
εἶναι καὶ μακαριστὸν πατέρα παρὰ τοῖς εὖ φρονοῦσι
15 πᾶσιν; εἰ δ' οὖν, ὦ νεανίσκε, καὶ τοιοῦτος ὤν, ὁποῖος
ἔσῃ πάντως ἄν γε ἀληθῶς φιλοσοφῇς, οὐχ ὑπάξῃ τὸν
πατέρα τὸν σὸν οὐδὲ πείσεις ἐπιτρέπειν σοι καὶ συγχω-
ρεῖν ταῦτα πράττειν, ἐκεῖνο λόγισαι· ὁ πατὴρ ὁ σὸς
κωλύει σε φιλοσοφεῖν· ὁ δέ γε κοινὸς ἁπάντων πατὴρ

---

19 Diog. Laert. VII 147 *εἶναι δὲ* (sc. *θεόν*) . . . *ὥσπερ πα-*

---

4 *καὶ*] videtur A^{1} *δὲ* habuisse nec patet quid voluerit A^{2} | ante *ἥκιστα* distinguit A ‖ **7** *ἀφροδισίων* sed *-ων* ex *-ον* vel *-ου* corr. M^{1} | *δὲ* in A addidit secunda demum manus ‖ **9** *δὲ* SMA^{2} *μὲν* A^{1} ‖ **11** *δέξαιτ' αὐτός* A^{1} *ἂν* add. A^{2} | *οὖν* SM *μὲν* A^{1} delevit A^{2} et addidit post *τις* ‖ **12** *ἔχειν εὔξαιτο τοῖς θεοῖς* S *ἔχειν εὔξαι τό τω τοῖς θεοῖς* M *εὔξαιτο τοῖς θεοῖς ἔχειν* (sic) A | *δὲ* A *δαὶ* SM ‖ **13** *ἂν ἀγαπήσειεν, δι' ὃν* scripsi: *ἀγαπήσει εἰ δεῖ* (*δὴ* A) *οὖν* SMA^{1} *ἢ* ex *εἰ* fecit A^{2} *ἀγαπήσει . εἰ δι' ὃν* Tr.; *ἀγαπήσει; εἰ δι' αὐτὸν* Gesn.^{1} *ἀγαπήσειεν, εἰ δι' αὐτὸν* Halm lect. Stob. p. 7 | *ὑπάρξειεν* S: *ὑπάξειεν* M *ὑπάξει ενέ* A et quidem *ὑπάξει* A^{1} litteras *ἐν ἐ* delet A^{2}. de syntaxi vide Kuehner-Gerth *ausf. Gr.*^{3} II 2 p. 428 s. ‖ **15** *εἰ δ' οὖν* etiam A, aberravit Gaisford | *ὁποῖος* ex *ὅσον*, ni fallor, S^{1} ‖ **16** *ἔσῃ* S | *ὑπάξῃ* ex *-ξει* corr. S^{1}M^{1} *ὑπάρξῃ* A^{1}

ἀνθρώπων τε καὶ θεῶν Ζεὺς κελεύει σε καὶ προτρέπει. πρόσταγμά τε γὰρ ἐκείνου καὶ νόμος ἐστὶ τὸν ἄνθρωπον εἶναι δίκαιον, χρηστόν, εὐεργετικόν, σώφρονα, μεγαλόφρονα, κρείττω πόνων, κρείττω ἡδονῶν, φθόνου παντὸς καὶ ἐπιβουλῆς ἁπάσης καθαρόν· ἵνα 5 δὲ συντεμὼν εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ Διός. τὸ δέ γε εἶναι ἀγαθὸν τῷ φιλόσοφον εἶναι ταὐτόν ἐστιν. εἰ δὴ τῷ πείθεσθαι ⟨τῷ⟩ πατρὶ τῷ ἀνθρώπῳ ἕπεσθαι μέλλεις, εἰ δὲ φιλοσοφοίης, τῷ Διΐ, δῆλον ὡς φιλοσοφητέον σοι μᾶλλον, ἢ 10 οὔ. ἀλλὰ νὴ Δία εἵρξει σε ὁ πατὴρ καὶ κατακλείσας ἕξει, ἵνα δὴ μὴ φιλοσοφῇς. ταῦτα μὲν ποιήσει ἴσως, τοῦ δέ γε φιλοσοφεῖν οὐκ ἀπείρξει σε μὴ βουλόμενον· οὐ γὰρ χειρὶ ἢ ποδὶ φιλοσοφοῦμεν οὐδὲ τῷ ἄλλῳ σώματι, ψυχῇ δὲ καὶ ταύτης ὀλίγῳ μέρει, ὃ δὴ διάνοιαν καλοῦμεν. 15 ταύτην γε μὴν ἐν ὀχυρωτάτῳ ἵδρυσεν ὁ θεὸς ὥστε ἀόρατον εἶναι καὶ ἄληπτον, καὶ ἀνάγκης πάσης ἐκτὸς ἐλευθέραν καὶ αὐτεξούσιον. ἄλλως

τέρα πάντων. cf. Arr. Epict. diss. I 3, 1 al. Quintil. inst. or. II 16, 12 7 cf. Dio Prus. XIII 28 v. I p. 187, 1 Arn. τὸ γὰρ ζητεῖν καὶ φιλοτιμεῖσθαι ὅπως τις ἔσται καλὸς καὶ ἀγαθὸς οὐκ ἄλλο τι εἶναι ἢ [τὸ] φιλοσοφεῖν 16 s. in capite (*sicut in arce* Cic. Tusc. disp. I 10, 20), non in corde posuisse videtur τὴν διά-

---

1 τε etiam A, fallitur Gaisford ‖ **2** τε om. A ‖ **3** δίκαιον καὶ χρηστὸν M ‖ **4** κρείττω ἡδ. S κρείττονα ἡδ. MA ‖ **7** διός MA: θεοῦ S | τὸ SMA[1] τῷ A[2] | γε om. A | τὸ φιλόσοφον A ‖ **8** τᾷ vel τῶ MA: τὸ S | τῷ πατρὶ scripsi: θεῷ SA θεῶ M πατρὶ Tr. p. 437 ‖ **9** φιλοσοφοίης SM: φιλοσοφητέον A ‖ **10** ἢ οὔ ex parte in ras. M ‖ **11** δῖα M | εἴρξει MA (sic) εἵρξει ut alibi S | post πατὴρ add. A m. pr. καὶ κωλύσει, sed delevit ipsa ‖ **12** ἕξει SM ἔρξει A[1] εἵρξει A[2] | φιλοσοφεῖς S ‖ **14** οὐ γὰρ SM: οὐδὲ γὰρ A quod immerito receperunt Gaisford et Meineke ‖ **15** δὴ διάνοιαν reposui ex M: διάνοιαν A δὴ ἄνοιαν S sed correctione οἶμαι διάνοιαν in margine adscripta item ab S[1], inde δὴ οἶμαι διάνοιαν inepte Tr. ‖ **18** αὐτεξούσιον SMA; αὐτεξουσίαν Tr.

τε ἐὰν τύχῃ οὖσα χρηστή, οὐ δυνήσεταί σε κωλύειν ὁ πατὴρ οὔτε χρῆσθαι τῇ διανοίᾳ οὔτε ἃ χρὴ διανοεῖσθαι οὔτε ἀρέσκεσθαι μὲν τοῖς καλοῖς, μὴ ἀρέσκεσθαι δὲ τοῖς αἰσχροῖς· οὐδ' αὖ τὰ μὲν αἱρεῖσθαι, τὰ
5 *δὲ ἐκκλίνειν. ταῦτα μὲν ποιῶν εὐθὺς φιλοσοφοίης ἄν, καὶ οὔτε τρίβωνα πάντως ἀμπέχεσθαι δεήσει σε οὔτε ἀχίτωνα διατελεῖν, οὐδὲ κομᾶν, οὐδ' ἐκβαίνειν τὸ κοινὸν τῶν πολλῶν. πρέπει μὲν γὰρ καὶ ταῦτα τοῖς φιλοσόφοις· ἀλλ' οὐκ ἐν τούτοις τὸ φιλοσοφεῖν*
10 *ἐστιν, ἀλλ' ἐν τῷ φρονεῖν ἃ χρὴ καὶ διανοεῖσθαι.*

XVII.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΤΙ ΑΡΙΣΤΟΝ ΓΗΡΩΣ ΕΦΟΔΙΟΝ.

Αὖθις δέ, ἐπεὶ πρεσβύτης τις ἐπύθετο, τί ἂν εἴη
15 *γήρως ἐφόδιον ἄριστον, ταὐτόν, εἶπεν, ὅπερ καὶ νεό-*

νοιαν Musonius, nec aliter Clemens Al. paed. II 34 p. 187 P. vide quae monuit Bonhoeffer *Epikt. und die stoa* p. 47 | *ταύτην γε κτέ.*] cf. Marcus Antoninus VIII 48 **6** cf. Arr. Epict. diss. IV 8, 12 Plut. de Is. et Os. p. 352 C Sen. ep. 5, 2 **14** Persius 5, 64 s. *petite hinc puerique senesque finem animo certum miserisque viatica canis.* cf. Aristoteles Diog. Laert. V 1, 21 *κάλλιστον ἐφόδιον τῷ γήρᾳ τὴν παιδείαν ἔλεγε.* similis huius sententia Pittaco datur ap. Stob. II 31, 100 p. 219 W., Bianti ap. Diog. Laert. I 88. cf. Plut. de liberis educ. p. 8 C **15** s. Diog. Laert. VII 87 *ὁ Ζήνων . . . τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν* et passim Stoici

4 *οὐδ'* MA *αὐδ'* S | *αὖ τὰ* SA *αὐτὰ* M | *αἱρεῖσθαι* M ‖ **5** *μὲν* SM *δὲ* A[2] ‖ **9** *τούτῳ* Tr. ‖ **11** Stobaeus flor. 117, 8 Mein. ecl. cum lemm. hab. SMA; *μουσωνίου* nec plura S ‖ **13** *γῆρας* M

τητος, τὸ ζῆν ὁδῷ καὶ κατὰ φύσιν. τοῦτο δὲ μάλιστ' ἂν οὕτω μάθοις ὁποῖόν τί ἐστιν, εἰ ἐννοήσαις τὴν τοῦ ἀνθρώπου φύσιν ὡς οὐ πρὸς ἡδονὴν γέγονεν. οὐδὲ γὰρ ἵππος οὐδὲ κύων οὐδὲ βοῦς, ἅπερ ἀτιμότερα πολὺ ἀνθρώπου ἐστίν, οὐ πρὸς ἡδονὴν γέγονεν· οὐδὲ γὰρ 5 *νομισθείη ἂν τυγχάνειν τοῦ ἑαυτοῦ τέλους ἵππος ἐσθίων μὲν καὶ πίνων καὶ ὀχεύων ἀνέδην, πράττων δὲ μηδὲν ὧν ἵππῳ προσήκει· οὐδέ γε κύων ἡδόμενος μὲν ὥσπερ ὁ ἵππος ἁπάσας ἡδονάς, πράττων δὲ μηδὲν ἀφ' ὧν ἀγαθοὶ νομίζονται εἶναι κύνες· οὐδὲ μὴν ἄλλο* 10 *ζῷον ὁτιοῦν ἔργου μὲν τοῦ προσήκοντος αὐτῷ στερόμενον, ἡδονῶν δ' ἐμπιπλάμενον· οὐδὲν οὖν οὕτως ζῆν ἂν λέγοιτο κατὰ φύσιν, ἀλλ' ὅ τι ἂν μάλιστα τὴν ἀρετὴν ἐμφανίζῃ, δι' ὧν πράττει κατὰ τὴν ἑαυτοῦ φύσιν. ἄγει γὰρ ἡ ἑκάστου φύσις ἕκαστον πρὸς τὴν* 15 *ἀρετὴν τὴν ἐκείνου· ὥστε καὶ τὸν ἄνθρωπον εἰκὸς οὐχ ὅταν ἐν ἡδονῇ βιοῖ, τότε κατὰ φύσιν βιοῦν, ἀλλ' ὅταν*

---

3 ss. cf. Clemens Alex. strom. VIII 3 p. 916 P. **12** Sext. Emp. math. XI 73 *ἀλλὰ Κλεάνθης μὲν μήτε κατὰ φύσιν αὐτὴν* (sc. *ἡδονήν*) *εἶναι μήτ' ἀξίαν ἔχειν ἐν τῷ βίῳ* **15** Zeno ap. Diog. Laert. VII 87 *ἄγει γὰρ πρὸς ταύτην* (sc. *τὴν ἀρετήν*) *ἡμᾶς ἡ φύσις* Cicero de fin. V 9, 26 *recte dici potest . . . commune animalium omnium secundum naturam vivere, sed naturas esse diversas, ut aliud equo sit e natura, aliud bovi, aliud homini, et tamen in omnibus summa communis* e. q. s. Seneca ep. 41, 7 ss. Arr. Epict. diss. IV 1, 121 al.

δ' αὐτὰ

2 *ἐννοήσας* S ‖ **3** *οὐ πρὸς* A, superscr. A[2]. erravit Gaisford ‖ **7** *μὲν* sed *μ* in ras. M | *ἀναίδην* M ‖ **8** *γε* SM *γὰρ* A ‖ **12** *ἐμπιπλάμενον. οὐδὲν* (*οὐδὲ* A) *οὖν οὕτως ζῆν ἂν* (*ἂν* om. S) *λέγοιτο* SMA[1] *ἐμπ. οὐδὲ τοῦτο* (voce *οὕτως* deleta) *ζῆν ἂν λ.* A[2]; *ἐμπιμπλάμενον οὐδὲν ἂν οὕτως ζῆν λέγοιτο* non bene Meineke. nulla opus mutatione, fort. ne tali quidem supplemento *ἐμπιπλάμενον· οὐδὲν οὖν* <*ἔχον*> *οὕτως ζῆν ἂν λέγοιτο* ‖ **13** *ἀλλό τι* M | **14** *ἐμφανίζῃ* ex indicativo corr. S[1] ‖ **17** *βιῷ* Meineke

ἐν ἀρετῇ. τότε γὰρ καὶ ἐπαινεῖσθαι δικαίως ὑπάρχοι ἂν αὐτῷ καὶ μέγα φρονεῖν ἐφ' αὑτῷ καὶ εὔελπιν καὶ θαρραλέον εἶναι, οἷς εὐφροσύνην τε καὶ χαρὰν βεβαίαν ἕπεσθαι ἀναγκαῖον. καθόλου δὲ ἄνθρωπος μίμημα
5 μὲν θεοῦ μόνον τῶν ἐπιγείων ἐστίν, ἐκείνῳ δὲ παραπλησίας ἔχει τὰς ἀρετάς· ἐπεὶ μηδ' ἐν θεοῖς μηδὲν ὑπονοῆσαι κρεῖττον ἔχομεν φρονήσεως καὶ δικαιοσύνης, ἔτι δὲ ἀνδρείας καὶ σωφροσύνης. ὥσπερ οὖν ὁ θεὸς διὰ τὴν παρουσίαν τούτων τῶν ἀρετῶν ἀήττητος μὲν
10 ἡδονῆς, ἀήττητος δὲ πλεονεξίας, κρείττων δὲ ἐπιθυμίας, κρείττων δὲ φθόνου καὶ ζηλοτυπίας, μεγαλόφρων δὲ καὶ εὐεργετικὸς καὶ φιλάνθρωπος· τοιοῦτον γὰρ ἐπινοοῦμεν τὸν θεόν· οὕτω καὶ τὸ ἐκείνου μίμημα τὸν ἄνθρωπον ἡγητέον, ὅταν ἔχῃ κατὰ φύσιν, ὁμοίως ἔχειν,
15 καὶ οὕτως ἔχοντα εἶναι ζηλωτόν· ὢν δὲ ζηλωτὸς εὐθὺς ἂν εἴη καὶ εὐδαίμων· οὐ γὰρ ἄλλους γέ τινας ἢ τοὺς εὐδαίμονας ζηλοῦμεν. καὶ μὴν οὐκ ἀδύνατον γενέσθαι τοιοῦτον ἄνθρωπον· οὐ γὰρ ἑτέρωθέν ποθεν ταύτας ἐπινοῆσαι τὰς ἀρετὰς ἔχομεν ἢ ἀπ' αὐτῆς τῆς
20 ἀνθρωπείας φύσεως, ἐντυχόντες ἀνθρώποις τοιοῖσδέ

---

4 cf. Musonius infra p. 96, 1 ss. **5** Cic. de leg. I 8, 25 *virtus eadem in homine ac deo est neque alio ullo in genere praeterea; est autem virtus nihil aliud nisi perfecta et ad summum perducta natura; est igitur homini cum deo similitudo* **13** ss. cf. Arr. Epict. diss. II 14, 12 s. et quae adscripsit Schenkl **20** cf. Sen. ep. 120, 5

---

3 θαρραλέον S θαρσαλέον MA sed έ in ras. M ‖ **4** ἀναγκαῖον Gesn.[1] f. 508[v]: ἀναγκαίαν SMA[1] ‖ **5** μόνον S: μόνων MA ‖ **6** per μηδὲν ὑπο desinit M f. 224[r], sequitur folium scriptura vacuum numero 233 insignitum, dein f. 234 ubi incipit Stob. flor. 121, 37 ‖ **7** ἔχομεν S ἔχον A ‖ **10** κρείττων δὲ ἐπ. S κρεῖττον δὲ ἐπ. A ‖ **16** per εὐδαίμων desinit A f. 205[v], proximum incipit intra Stob. flor. 117, 9 ‖ **17** γενεσθαι sine acc. S ‖ **20** τοιοῖσδέ Pflugk: τοῖς δέ S

τισιν, οἵους ὄντας αὐτοὺς θείους καὶ θεοειδεῖς ὠνόμαζον. εἰ μὲν οὖν τις τύχοι πρότερον ἔτι νέος ὢν παιδείας ὀρθῆς ἐπιμέλειαν πεποιημένος, καὶ τὰ μὲν ὅσα μαθημάτων ἔχεται καλῶν μεμαθηκὼς οὐκ ἐνδεῶς, τὰ δὲ ἀσκητὰ ἠσκηκὼς ἱκανῶς, οὗτος ἂν ἐν γήρᾳ ταῖς 5 ἐνούσαις ἑαυτῷ χρώμενος ἀφορμαῖς ζῴη κατὰ φύσιν, καὶ ἀλύπως μὲν φέροι τὴν στέρησιν τῶν ἡδονῶν τῶν ἐπὶ νεότητος, ἀλύπως δ' ἔχοι τῇ παρούσῃ τοῦ σώματος ἀδυναμίᾳ, δυσκολαίνοι δ' οὐκ ἂν οὔτε καταφρονούμενος ὑπὸ τῶν πλησίον οὔτ' ἀμελούμενος ὑπὸ τῶν 10 οἰκείων καὶ φίλων, ἅτε πρὸς ταῦτα πάντα ἀλεξιφάρμακον ἔχων καλὸν ἐπὶ τῇ διανοίᾳ τῇ ἑαυτοῦ, τὴν παιδείαν τὴν ὑπάρχουσαν. εἰ δέ τις εἴη παιδείας μὲν ἐνδεέστερον μετεσχηκώς, προθυμίαν δὲ παρέχοιτο πρὸς τὰ κρείττω, καὶ πείθεσθαι δύναιτο τοῖς εὖ λεγομένοις, 15 οὗτος ἂν εὖ ποιοίη ζητῶν λόγων ἀκούειν ὑποθετικῶν παρὰ τῶν πεποιημένων ἔργον εἰδέναι τίνα μὲν βλαβερά, τίνα δὲ ὠφέλιμα ἀνθρώποις, καὶ τίνα δὴ τρόπον τὰ μὲν ἐκφεύγοι, τὰ δὲ κτῷτο, καὶ πῶς ἂν τὰ μὴ ὄντα μὲν κακά, δοκοῦντα δέ, προσιόντα πρᾴως δέχοιτο. 20 τούτων δὲ ἀκούων καὶ πειθόμενος (ὥς τό γε ἀκούειν ἀπειθῶς ἀκερδέστατον) διαθεῖτ' ἂν τὸ γῆρας

---

5 *περὶ ἀσκήσεως* Musonius supra p. 22 ss. **10** cf. Plato de re p. I p. 329 B *ἔνιοι δὲ καὶ τὰς τῶν οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται κτέ.* **16** *λόγων — ὑποθ.*] cf. Bernays *ges. abh.* I p. 271

---

1 an *θείους ἢ θεοειδεῖς*? cf. p. 110, 6 s. | *ὠνόμαζον* Tr. p. 586: *ὠνόμαζεν* S; fort. *ὀνομάζομεν* ‖ **5** *οὗτος* (sic susp. Gesner[1] f. 508ʳ mrg.) S: *οὕτως* Tr. ‖ **7** *φέρει* S: corr. Gesn.[1] ‖ **8** *τῆς παρούσης τ. σ. ἀδυναμίας* prop. Peerlkamp ‖ **18** *τίνα δὴ* Valckenaer: *τίνα ἀεί* S ‖ **19** *ἐκφύγοι* S: corr. Meineke. cf. p. 38, 4 ‖ **21** *δὲ* reposui ex S: *μὲν* Tr. ‖ **22** *διαθοῖτ'* S: corr. Meineke

*καλῶς τά τε ἄλλα καὶ τὸν τοῦ θανάτου φόβον ἐξαιρε-
θείη ἄν, ὃς μάλιστα θορυβεῖ τε καὶ πιέζει τοὺς γέ-
ροντας, ὥσπερ ἐπιλελησμένους ὅτι παντὶ θνητῷ θάνα-
τος ὀφείλεται. καὶ τό γε ἀθλιώτατον ποιοῦν τὸν βίον
5 τοῖς γέρουσιν αὐτὸ τοῦτό ἐστιν, ὁ τοῦ θανάτου φόβος·
ὥσπερ ἀμέλει καὶ ὁ ῥήτωρ Ἰσοκράτης ἀνωμολογήσατο.
φασὶ γὰρ ἐκεῖνον, ἐρωτήσαντός τινος ὅπως διάγει,
εἰπεῖν, ὅτι οὕτως ὥσπερ εἰκὸς τὸν ἐνενήκοντα μὲν γε-
γονότα ἔτη, κακῶν δὲ ἔσχατον νομίζοντα εἶναι τὸν
10 θάνατον. καί τοι πῶς ἐκείνῳ τι παιδείας μετῆν ἢ γνώ-
σεως τῶν ἀλη⟨θῶς ἀγα⟩θῶν ἢ κακῶν, ὃς ὑπελάμβανεν
εἶναι κακὸν τὸ ἐξ ἀνάγκης ἑπόμενον βίῳ τῷ ἀρίστῳ;
εἴ γε ἄριστος βίος ὁ τοῦ ἀγαθοῦ ἀνδρός, πέρας δὲ
καὶ τούτου θάνατος. ὃ δ' οὖν εἶπον, εἰ τοῦτο περι-
15 ποιήσαιτό τις ἐν γήρᾳ, τὸ προσδέχεσθαι τὸν θάνατον
ἀφόβως καὶ θαρραλέως, οὐ μικρὸν ἂν πρὸς τὸ ζῆν
ἀλύπως καὶ κατὰ φύσιν εἴη πεπορισμένος· κτήσαιτο*

---

1 Cicero de senect. 19, 66 *restat causa, quae maxime angere atque sollicitam habere nostram aetatem videtur, adpropinquatio mortis* **3** cf. Eur. Alc. 782 sim. quae congessere interpretes ad Soph. El. 1173. indiligentius ut videtur Clemens Alex. strom. VI p. 749 P. Demostheni adscribit '*πᾶσι γὰρ ἡμῖν ὁ θάνατος ὀφείλεται*' cf. adn. 13 **6** *ὁ ῥήτωρ Ἰσοκράτης*] dictum aliunde mihi non notum fluxerit ex philosophorum contra rhetoras invidia, vide tamen Isocr. Panath. p. 234 c **13** cf. Demosth. XVIII p. 258 *πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος* **17** ss. *κτήσαιτο δ' ἂν κτέ.*] Cicero de sen. 1, 2 *numquam igitur*

---

4 *τό τε* S: tacite corr. Gesn.[1] ‖ **8** *εἰκὸς* quod proposui ap. C. Schmich *De arte rhetorica in Musonii diatribis conspicua* (Friburgi Br. ed. a. 1902) p. 2, occuparat Cobet mnemos.[2] II p. 445: *ἐκεῖνος* S *ἐκεῖνον* Tr. cf. Arr. Epict. diss. II 1, 11 ‖ **11** *τῶν ἀλη⟨θῶς ἀγα⟩θῶν ἢ κακῶν* scripsi: *τῶν ἀληθῶν ἢ κακῶν* S. *τῶν ἀληθῶν κακῶν* (particula *ἢ* deleta) scr. Meineke, *τῶν ἀληθινῶν κακῶν* coni. Nauck. cf. supra p. 23, 12. 26, 4. 50, 9 ‖ **16** *πρὸς τὸ ζῆν* Tyrwhitt: *μέρος τὸ ζῆν* S; *μέρος τοῦ ζῆν* prop. Gesn.[1] f. 508[v] mrg., cf. Musonius supra p. 63, 10

δ' ἂν τοῦτο συνὼν τοῖς οὐκ ὀνόματι μόνον ἀλλ' ἀληθῶς φιλοσόφοις, ἄν γε καὶ πείθεσθαι θέλῃ αὐτοῖς. ἐγὼ μὲν οὖν φημὶ γήρως ἐφόδιον εἶναι κράτιστον, ὃ δὴ καὶ ἀρχόμενος τοῦ λόγου εἶπον, τὸ ζῆν κατὰ φύσιν ἃ χρὴ πράττοντα καὶ διανοούμενον. οὕτω γὰρ ἂν καὶ 5 εὐθυμότατος εἴη ὁ γέρων καὶ ἐπαινετώτατος, ταῦτα δὲ ἔχων εὐπότμως καὶ ἐντίμως βιῴη ἄν. εἰ δέ τις οἴεται μέγιστον εἶναι παραμύθιον τοῖς γέρουσι τὸν πλοῦτον, καὶ τοῦτον αὐτοῖς παρέχειν ἀλύπως βιοῦν, κακῶς οἴεται· πλοῦτος γὰρ ἡδονὰς μὲν οἷός τε παρ- 10 έχειν ἀνθρώποις ἐστὶ τὰς ἀπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων καὶ ἄλλων ὁμοίων, οὔτε δὲ εὐθυμίαν οὔτε ἀλυπίαν οὐδαμῶς τῷ κεκτημένῳ παράσχοι ἄν. μάρτυρες δὲ πολλοὶ τῶν πλουσίων λυπούμενοι καὶ ἀθυμοῦντες καὶ ἀθλίους νομίζοντες εἶναι αὐτούς. διόπερ 15 οὐδὲ ἐπικούρημα γήρως καλὸν ὁ πλοῦτος εἴη ἄν.

---

laudari satis digne philosophia poterit, cui qui pareat omne tempus aetatis sine molestia possit degere 7 εἰ δέ τις οἴεται κτέ.] cf. Plat. de re publ. I p. 329 E ὦ Κέφαλε, οἶμαί σου τοὺς πολλούς, ὅταν ταῦτα λέγῃς, οὐκ ἀποδέχεσθαι, ἀλλ' ἡγεῖσθαί σε ῥᾳδίως τὸ γῆρας φέρειν οὐ διὰ τὸν τρόπον, ἀλλὰ διὰ τὸ πολλὴν οὐσίαν κεκτῆσθαι· τοῖς γὰρ πλουσίοις πολλὰ παραμύθιά φασιν εἶναι. Cic. de senect. 3, 8 *sed fortasse dixerit quispiam tibi propter opes et copias et dignitatem tuam tolerabiliorem senectutem videri* 13 Menelai verba solent afferre (Od. IV 93) ὡς οὔτοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω, sic Plutarchus in capite Stoicae doctrinae pleno libri de audiendis poetis p. 25 A. cf. Stob. flor. 93, 37 M. gnomol. Vat. 497 Sternb. Arr. Epict. diss. III 22, 27 ἴδετε Κροῖσον, ἴδετε τοὺς νῦν πλουσίους, ὅσης οἰμωγῆς ὁ βίος αὐτῶν μεστός ἐστιν I 24, 15 ἐν τοῖς πλουσίοις ... αἱ τραγῳδίαι τόπον ἔχουσιν κτέ.

---

1 ὀνόματι bene susp. Meineke: ὀνόμασι S. cf. Arr. Epict. diss. III 26, 13 ‖ 10 πλοῦτος μὲν γὰρ sed μὲν punctis deletum S πλοῦτος γὰρ Tr. p. 587 ‖ 11 ποτων sine accentu, nisi macula supra ω deletum esse accentum indicat S ‖ 12 δὲ ut Tr. etiam S, fallitur Gaisford ‖ 13 οὐδαμῶς S: οὐδαμοῦ Tr.

XVIII[A].

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΠΕΡΙ ΤΡΟΦΗΣ.

*Περὶ δὲ τροφῆς εἰώθει μὲν πολλάκις λέγειν καὶ
5 πάνυ ἐντεταμένως ὡς οὐ περὶ μικροῦ πράγματος οὐδ'
εἰς μικρὰ διαφέροντος· ᾤετο γὰρ ἀρχὴν καὶ ὑποβολὴν
τοῦ σωφρονεῖν εἶναι τὴν ἐν σίτοις καὶ ποτοῖς ἐγκρά-
τειαν. ἅπαξ δέ ποτε τῶν ἄλλων ἀφέμενος λόγων, οὓς
ἑκάστοτε διεξῄει, τοιάδε τινὰ εἶπεν· ὡς χρὴ καθάπερ
10 τὴν εὐτελῆ τῆς πολυτελοῦς τροφὴν προτιμᾶν καὶ τὴν
εὐπόριστον τῆς δυσποριστου, οὕτω καὶ τὴν σύμφυλον
ἀνθρώπῳ τῆς μὴ τοιαύτης· εἶναι δὲ σύμφυλον ἡμῖν*

---

4 variatur Socraticum illud (Xen. apomn. I 5, 4) *τὴν ἐγ-
κράτειαν ἀρετῆς εἶναι κρηπῖδα.* cf. Wendland *Philo und die
kynisch-stoische diatr.* p. 11 9 cf. Ps.-Luc. Cyn. 8 *ὑμεῖς δὲ
. . . τὰ ξενικὰ τῶν ἐπιχωρίων ἀεὶ προτιμῶντες καὶ τὰ πολυτελῆ
τῶν εὐτελῶν καὶ τὰ δυσπόριστα τῶν εὐποριστων* Sen. dial. IX
1, 6 *placet cibus . . . parabilis facilisque, nihil habens arcessiti
pretiosive* e. q. s. in verbis *ὡς χρὴ — τῆς μὴ τοιαύτης* Epicuri
potius hortum adiisse videtur Musonius Vsenero Epic. p. LVII
et 297, 27 utpote semel declinans a solita disserendi via (*ἅπαξ
δέ ποτε τῶν ἄλλων ἀφ. λ.*) 11 Seneca ep. 108, 18 *colligebat*
(sc. *Sextius*) *bonae valetudini contraria esse alimenta varia et
nostris aliena corporibus*

---

1 Stobaeus III 17, 42 H. ecl. cum lemm. hab. SMABr;
μουσωνίου (in ras. Br) nihil amplius Br. *τρυφῆς* compend. S
S sed saepius *o* non clausas pingit S ‖ 7 *σίτοις* scripsi: *σιτίοις*
libri. sed rectius *σίτων καὶ ποτῶν* et *σῖτα καὶ ποτά* libri p. 93,
11. 102, 5. 103, 2. cf. L. Dindorf in Xen. anab. VII 1, 35 Cyrop. II
4, 32 ‖ 11 *οὕτω* SBr *οὕτως* M[d] A ‖ 12 *τῆς μὴ τοιαύτης· εἶναι δὲ*
(sic ut coniecit Gaisford) Br, vide Beving *rem. crit.* p. 20: *τῆς
τοιαύτης εἶναι* SA, v. *σύμφυλον ἀνθρ.* (11 s.) — *εἶναι δὲ* propter
homoeoteleuton om. M[d]; *ἀνθρώπῳ· τοιαύτην δὲ εἶναι σύμφυ-
λον* temere Gesn.[1] p. 138 | *ἡμῖν* supra versum A

τὴν ἐκ τῶν φυομένων ἐκ γῆς, ὅσα τε σιτώδη ὄντα καὶ ὅσα μὴ τοιαῦτα ὄντα δύναται τρέφειν οὐ κακῶς τὸν ἄνθρωπον· καὶ τὴν ἀπὸ τῶν ζῴων οὐκ ἀναιρουμένων, ἄλλως δὲ χρησιμευόντων. τούτων δὲ τῶν βρωμάτων ἐπιτηδειότατα μὲν οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα 5 *πυρός, ἐπεὶ καὶ ἑτοιμότατα· οἷα δὴ τά τε ὡραῖα καὶ τῶν λαχάνων ἔνια καὶ γάλα καὶ τυρὸς καὶ κηρία. καὶ ὅσα μέντοι δεῖται πυρὸς ἢ σιτώδη ἢ λαχανώδη ὄντα, καὶ ταῦτ' οὐκ ἀνεπιτήδεια, ἀλλὰ σύμφυλα ἀνθρώπῳ πάντα. τὴν μέντοι κρεώδη τροφὴν θηριωδεστέραν* 10 *ἀπέφηνε καὶ τοῖς ἀγρίοις ζῴοις προσφορωτέραν. εἶναι δὲ ταύτην ἔλεγε καὶ βαρυτέραν καὶ τῷ νοεῖν τι καὶ φρονεῖν ἐμπόδιον· τὴν γὰρ ἀναθυμίασιν τὴν ἀπ' αὐτῆς θολωδεστέραν οὖσαν ἐπισκοτεῖν τῇ ψυχῇ· παρὸ καὶ βραδυτέρους φαίνεσθαι τὴν διάνοιαν τοὺς πλείονι ταύτῃ* 15

---

4 *τούτων κτέ.*] cf. Clemens Alex. paed. II 15 p. 174 P. *τῶν γάρ τοι βρωμάτων ἐπιτηδειότατα, οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα πυρός, ἐπεὶ καὶ ἑτοιμότερα* **5** cf. Diog. Laert. VII 26 *ἦν δὲ (Ζήνων) . . . ἀπύρῳ τροφῇ χρώμενος* et 13, cf. Plut. de tuenda sanit. praec. p. 131 F **6** *τά τε ὡραῖα κτέ.*] Clemens Alex. l. c. 15 p. 173 P. *βολβοί, ἐλαῖαι, λαχάνων ἔνια, γάλα, τυρὸς τά τε ὡραῖα ἑψήματά τε παντοδαπὰ ζωμῶν ἄνευ . . . πρὸς τούτοις οὐδὲ τραγημάτων καὶ κηρίων ἀμοίρους περιορατέον τοὺς δειπνοῦντας κατὰ λόγον.* cf. Philonea ed. Tisch. p. 8, 3 *ἐλαίας ἢ τυρὸν ἢ λάχανα προσόψημα* **10** ss. cf. Clemens Alex. l. c. 11 init. p. 170 P.: *θηρίων γὰρ μᾶλλον τοῦτό γε, καὶ ἡ ἀπ' αὐτῶν ἀναθυμίασις θολωδεστέρα οὖσα ἐπισκοτεῖ τῇ ψυχῇ.* ex Musoniani simili fonte hausit Plutarchus de carnium esu p. 995 F sq. de tuenda san. p. 132 A. Galenus protr. 11

---

2 *δύνανται* M[d] | *οὐ καλῶς* Tr. p. 113, inde *καλῶς* Gesn.[1] ‖ **3** *τῶν* pro *τὴν* Tr ‖ **5** *ὑπάρχοι* Tr. ‖ **6** *ἔπειτα καὶ* Br ‖ **7** *τυρὸς* Br, Clem.: *πυρὸς* SM[d]A; *τυρὸν* Tr. ‖ **11** *ἀπέφηνεν* SM[d] ‖ **12** *τῷ* vel *τῶ* SBr: *τὸ* M[d]A[1] ‖ **13** *ἐφόδιον* S | v. *τὴν ἀπ' αὐτῆς* usque ad fin. om. Br ubi periit unum folium post f. 64[v] ‖ **14** *θολοδεστέραν* M[d]

χρωμένους. δεῖν δὲ τὸν ἄνθρωπον, ὥσπερ συγγενέστατον τοῖς θεοῖς τῶν ἐπιγείων ἐστίν, οὕτω καὶ ὁμοιότατα τρέφεσθαι τοῖς θεοῖς. ἐκείνοις μὲν οὖν ἀρκεῖν τοὺς ἀπὸ γῆς καὶ ὕδατος ἀναφερομένους ἀτμούς, ἡμᾶς
5 δ' ὁμοιοτάτην ταύτῃ προσφέρεσθαι τροφὴν ἂν εἶπεν τὴν κουφοτάτην καὶ καθαρωτάτην· οὕτω δ' ἂν καὶ τὴν ψυχὴν ἡμῶν ὑπάρχειν καθαράν τε καὶ ξηράν, ὁποία οὖσα ἀρίστη καὶ σοφωτάτη εἴη ἄν, καθάπερ Ἡρακλείτῳ δοκεῖ λέγοντι οὕτως 'αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ
10 ἀρίστη'· νῦν δέ, ἔφη, πολὺ χεῖρον ἡμεῖς τῶν ἀλόγων ζῴων τρεφόμεθα. τὰ μὲν γάρ, εἰ καὶ σφόδρα τῇ ἐπιθυμίᾳ ὥσπερ μάστιγί τινι ἐλαυνόμενα φέρεται πρὸς τὴν τροφήν, ὅμως τοῦ γε πανουργεῖν περὶ τὰ βρώματα

---

3 Cic. de deorum nat. II 16, 43 *probabile est . . . praestantem intellegentiam in sideribus esse, quae et aetheriam partem mundi incolant et marinis terrenisq. umoribus longo intervallo extenuatis alantur* ibid. III 14, 37 Porphyr. de antro nymph. 11 p. 64, 3 ss. N.^{2} **7** Clem. Alex. paed. II 29 p. 184 P. *οὕτω δ' ἂν καὶ ἡ ψυχὴ ἡμῶν ὑπάρξαι καθαρὰ καὶ ξηρὰ καὶ φωτοειδής, αὐγὴ δὲ ψυχὴ ξηρὰ σοφωτάτη καὶ ἀρίστη*

---

2 *τοῖς θεοῖς* M^d inde Gesn.^{2} p. 160: *θεοῖς* SA | *οὕτως* M^{1}A ‖ **5** *εἶπεν* scripsi: *εἴη* S *εἴη εἰ* M^{d}A; *ἔφη, εἰ* Halm lect. Stob. p. 2. sed vide corruptelam versus 8 ‖ **6** *προσφεροίμεθα* post *καθαρ.* add. M^{d}A, om. S interpretis opinor emblema. Halmio obsequitur Meineke | *οὕτως* M^{d}A ‖ **8** *εἴη ἂν* Gataker: *εἰ πᾶν* S *εἰ πάν* M^d *εἰ*^{πᾶν} A; *εἰς πᾶν* Gesn.^{1}, inde vulg. ‖ **9** *αὐγη ξηρη* (sic) S *αὐγη ξηρῆ* M^d *αὐγὴ* (sed *γ* delevit accentum corr. A^2) *ξηρὴ* A^1. lectio depravata servanda est. multis eam imposuisse cum ego monui ad Stob. III 5, 8 p. 257, 10 tum Bywater testimoniis collectis ad Heraclit. fr. LXXIV—LXXVI. cf. Iwanus Mueller in Galeni scr. min. v. II p. XLIII sq. et de Clemente Alex. Schleiermacher *sämtl. werke* II p. 130. glossema *ξηρή* iam a Panaetio vel Posidonio oblatum esse suspicatur Wendland *Philos schr. ueber die vors.* p. 81 adn. 4 ‖ **11** *σφοδρᾷ* A

καὶ τοῦ τεχνιτεύειν ἀπήλλακται, ἀρκούμενα τοῖς παραπεσοῦσι καὶ πλησμονὴν θηρώμενα μόνον, προσωτέρω δ' οὐδέν. ἡμεῖς δὲ τέχνας καὶ μηχανὰς ποικίλας ἐπινοοῦμεν, ὥστε τὴν ἐδωδὴν τῆς τροφῆς ἐφηδύνειν καὶ τὴν κατάποσιν κολακεύειν μειζόνως. εἰς τοῦτο δὲ προ- 5 εληλύθαμεν λιχνείας καὶ ὀψοφαγίας, ὥστε καθάπερ μουσικὰ καὶ ἰατρικὰ οὕτω καὶ μαγειρικὰ πεποίηνταί τινες συγγράμματα, ἃ τὴν μὲν ἡδονὴν καὶ πάνυ αὔξει τὴν ἐν τῷ φάρυγι, τὴν δ' ὑγίειαν διαφθείρει. πολὺ γοῦν κάκιον διακειμένους ὁρᾶν ἔστι τὰ σώματα τοὺς 10 περὶ τὰ βρώματα τρυφῶντας, ὧν εἰσιν ἔνιοι παραπλήσιοι ταῖς κιττώσαις γυναιξίν· καὶ γὰρ οὗτοι, καθάπερ ἐκεῖναι, τὰ συνηθέστατα τῶν βρωμάτων δυσχεραίνουσι καὶ τοὺς στομάχους διεφθαρμένους ἔχουσιν. ὅθεν ὥσπερ ὁ ἀχρεῖος σίδηρος συνεχῶς δεῖται στομώ- 15 σεως, οὕτω καὶ οἱ ἐκείνων στόμαχοι ἐν τῷ ἐσθίειν συνεχὲς στομοῦσθαι θέλουσιν ἢ ὑπὸ ἀκράτου ἢ ὑπὸ ὄξους ἢ ὑπὸ βρώματός τινος στρυφνοῦ. ἀλλ' οὐχὶ ὁ Λάκων τοιοῦτος, ὃς ἰδών τινα, παρακειμένου αὐτῷ

---

1 cf. Seneca ep. 119, 3 *illa* (sc. *natura*) *ventrem non delectari vult, sed impleri* **5** cf. Clemens Alex. paed. II 1, 9 *μόνην κολακεύοντες τὴν κατάποσιν* Maximus Tyr. 31, 5 *κολακεύματα γαστρός* **7** Sen. dial. XII 10, 8 *Apicius . . . scientiam popinae professus disciplina sua saeculum infecit* **9** cf. Muson. infra p. 104, 5 *οὐδαμῶς ὠφελουμένων τῶν σωμάτων ἐκ τῆς πολυτελείας τῶν βρωμάτων* Ps.-Luc. Cyn. 9 extr. **12** *ταῖς κιττώσαις γυναιξίν*] cf. Arr. Epict. diss. IV 8, 35 **15** imago haec in alio sententiarum conexu legitur apud Clementem Al. paed. III 46 p. 281 P.
18 ss. Bionem apophthegma redolet, lepide non tam laudatur Laconis frugalitas quam ridetur rusticitas, vide quae monui mus. Rh. XLVII p. 238

---

1 *τεχνιτεύειν* M *τεχνίτου ἵν'* SA *ἴσως τεχνιτεύειν* A[s] mrg. | *παραπεσοῦσι* A ‖ **4** *ἐδωδὴν* scripsi: *ἡδονὴν* libri | *ἐφηδύνειν* S ‖ **6** *καὶ ὀψοφ.*] *καμψοφαγίας* M[d] ‖ **7** *οὔτω* S *οὕτως* M[d]A ‖ **9** *φάρυγι* S *φάρυγγι* M[d]A ‖ **15** an *συνεχοῦς*?

ὀρνιθίου τῶν πιόνων καὶ πολυτελῶν, ὑπὸ τρυφῆς ἀναινόμενον φαγεῖν αὐτὸ καὶ φάσκοντα μὴ δύνασθαι, 'ἀλλ' ἐγώ' ἔφη 'καὶ γυπὸς δύναμαι καὶ τόργου'. Ζή-νων δέ γε ὁ Κιτιεὺς οὐδὲ νοσῶν ᾤετο δεῖν τροφὴν
5 προσφέρεσθαι τρυφερωτέραν, ἀλλ' ἐπεὶ ὁ θεραπεύων ἰατρὸς ἐκέλευεν αὐτὸν φαγεῖν νεοττὸν περιστερᾶς, οὐκ ἀνασχόμενος 'ὡς Μάνην' ἔφη 'με θεράπευε'. ἠξίου γάρ, οἶμαι, μηδὲν μαλακώτερον ἐν τῇ θεραπείᾳ γίνε-σθαι αὐτῷ ἢ τῶν δούλων τινὶ νοσοῦντι· καὶ γὰρ εἰ
10 ἐκεῖνοι θεραπεύεσθαι δύνανται δίχα τοῦ τροφὴν λαμβά-νειν πολυτελεστέραν, δύνασθαι ἂν καὶ ἡμᾶς. δεῖ γὰρ μηδαμῶς τὸν ἀγαθὸν ἄνδρα δούλου μηδενὸς εἶναι μαλακώτερον. διόπερ ὁ Ζήνων εἰκότως ἠξίου εὐλα-βεῖσθαι τὴν πολυτέλειαν ἐν τῇ τροφῇ καὶ μηδ' ἐπ'
15 ὀλίγον ἐνδιδόναι πρὸς τὸ τοιοῦτον· ἐπείπερ ὁ ἐνδοὺς ἅπαξ προέλθοι ἂν ἐπὶ πλεῖστον, ἅτε τῆς ἡδονῆς πολλὴν ἐχούσης αὔξησιν ἔν τε πόμασι καὶ βρώμασι. Ταῦτα μὲν τότε καινότερα ἔδοξεν ἡμῖν εἰπεῖν περὶ τροφῆς, ὧν εἰώθει λέγειν ἑκάστοτε.

---

3 Pearson *the fragm. of Zeno* p. 232 **7** *ὡς Μάνην*] cf. Arr. Epict. diss. III 26, 37 **15** cf. Arr. Epict. diss. IV 9, 14 *μηδὲ πάθῃς τὸ τῶν ἀγεννῶν ἀνθρώπων, οἳ ἅπαξ ἐνδόντες εἰσάπαν ἐπέδωκαν ἑαυτοὺς κτέ.*

---

1 *πλειόνων* SM[d] *πλειόνων* (*πι* suprascr.) A, corr. A m. rec.; *πιόνων* etiam Schaefer ad Bosii de ellipsi librum p. 233 ‖ **2** *αὐτὸ* SA *αὐτῷ* M[d] | *φάσκοντα* ex *φασκόντων* corr. S[1] ‖ **3** *τράγου* libri: corr. Buecheler ‖ **4** *γε* om. A | *κιτιεὺς* S *κιττιεὺς* M[d]A | *οὐδὲ νοσῶν* SM[d] *οὐδενός ὢν* A[1] *δὲ νοσῶν* A m. rec. mrg. ‖ **6** *αὐτῷ* A ‖ **7** *μανην* S, acc. add. S[2] *μανικα* M[d] *μάνην* A ‖ **9** *τινὶ*] *αὐτῷ*, sed *αὐτῷ* lineola del. et *τινὶ* suprascr. S[1] | *εἰ* A, om. SM[d]; *ὡς γὰρ ἐκεῖνοι* ci. Buecheler ‖ **11** *γὰρ* reposui ex SM[d]A; *δὲ* temere Gesn.[1] p. 140 ‖ **17** *πόμασι* SM[d]A: *πώ-* Meineke. cf. Schanz ad Plat. Phaed. p. 117 B G. Sauppe lexil. Xen. p. 112 s. ‖ **19** *λέγειν* ex *λέγων* corr. S[1]

XVIII^{B}.

ΜΟΥΣΩΝΙΟΥ

ΕΚ ΤΟΥ

ΠΕΡΙ ΤΡΟΦΗΣ.

Αἴσχιστον, ἔφη, γαστριμαργία καὶ ὀψοφαγία ἐστίν, οὐκ ἀντερεῖ οὐδείς· σκοποῦντας δὲ ὅπως διαφεύξονται ταῦτα, πάνυ ὀλίγους ᾔσθημαι ἐγώ, τοὺς δὲ πολλοὺς ὁρῶ καὶ ἀπόντων ὀρεγομένους τῶν τοιούτων βρωμάτων, καὶ παρόντων ἀπέχεσθαι μὴ δυναμένους, καὶ χρωμένους αὐτοῖς, ὅταν χρῶνται, ἀφειδῶς, ὡς καὶ πρὸς βλάβην χρῆσθαι τὴν τοῦ σώματος. καίτοι γαστριμαργία τί ἂν εἴη ἄλλο ἢ ἀκρασία περὶ τροφήν, δι' ἣν ἄνθρωποι τὸ ἡδὺ τὸ ἐν σίτῳ τοῦ ὠφελίμου προτιμῶσιν; καὶ ὀψοφαγία δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου. πανταχοῦ δὲ κακὸν οὖσα ἡ ἀμετρία ἐν

---

6 s. cf. quae collegit Norden in Varr. sat. Men. obs. sel. p. 307 **10** *γαστριμαργία* — **14** *χῆσιν ὄψου*] cf. Clemens Alex. II 12 p. 171 P. *ἡ γοῦν ὀψοφαγία οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου καὶ ἡ λαιμαργία μανία περὶ τὸν λαιμὸν καὶ ἡ γαστριμαργία ἀκρασία περὶ τὴν τροφὴν κτέ.* **14** *πανταχοῦ* — p. 100 l. 1 *φύσιν*] Clemens Alex. paed. II 11 p. 171 P. *πανταχῇ δὲ κακὸν οὖσα ἡ ἀμετρία περὶ τὰς τροφὰς μάλιστα διελέγχεται*

---

1 Stobaeus III 18, 37 H. ecl. cum lemm. hab. SMABr f. 65^r sine lemm. Br f. 36^v; nil nisi *μουσωνίου* Br *ἐκ*[τ] S *ἐκ τ̈* Tr. *ἐκ τοῦ* M^{d}A ‖ **4** *Ὅτι αἴσχ.* ci. Wachsmuth; dederit Lucius *Ἀλλ' ὅτι μὲν αἴσχ.* ‖ **5** *διαφεύξωνται* SMABr: corr. Halm lect. Stob. p. 2 ‖ **7** *ἀπάντων* A | *τοιούτων* M^d ‖ **8** *ἀπέχεσθαι* M^d: *ἐπέχεσθαι* [α] (*ἐπ-* A) SA | v. *καὶ χρωμένους* — *φύσιν* p. 100 l. 1 infra post *δυναμένους* (p. 100, 4) repetiit A propter homoeoteleuton ‖ **10** *τὴν* om. loco altero A ‖ **11** *μᾶλλον* pro *ἄλλο* A loco altero ‖ **13** *ἐστίν* (vel *ἐστιν*) post *ἕτερον* habet S, post *ὄψου* M^{d}ABr. **an** delenda erit copula? ‖ **14** *πανταχῇ* Clem.

τοῖς μάλιστα τῇδε τὴν ἑαυτῆς ἐπιδείκνυται φύσιν, παρεχομένη τοὺς ὀψοφάγους ἀντὶ ἀνθρώπων ὑσὶν ἢ κυσὶν ὁμοιουμένους τὴν λαβρότητα καὶ εὐσχημονεῖν μὴ δυναμένους, οὐ ταῖς χερσίν, οὐ τοῖς ὄμμασιν, οὐ
5 τῇ καταπόσει· οὕτως ἄρα αὐτοὺς ἐξίστησιν ἡ ἐπιθυμία τῆς ἐν ὄψῳ ἡδονῆς. ὅτι μὲν δὴ οὕτως ἔχειν πρὸς τροφὴν αἴσχιστόν ἐστι, γνώριμον, ἐν ᾧ γε ζῴοις ἄφροσι μᾶλλον ἢ ἀνθρώποις φρονίμοις ὁμοιούμεθα. αἰσχίστου δὲ τούτου ὄντος, κάλλιστον ἂν εἴη τοὐναντίον, τάξει
10 καὶ κοσμίως ἐσθίειν, καὶ τὴν σωφροσύνην ἐνταῦθα ἐπιδείκνυσθαι πρῶτον, οὐκ ὂν ῥᾴδιον, ἀλλὰ δεόμενον πολλῆς ἐπιμελείας καὶ ἀσκήσεως [καὶ καθόλου μὲν ἴσως τὸ σωφρονεῖν]. διὰ τί δὴ τοῦτο; ὅτι πολλῶν ἡδονῶν οὐσῶν, αἳ τὸν ἄνθρωπον ἀναπείθουσιν ἁμαρ-
15 τάνειν καὶ ἐνδιδόναι αὐταῖς βιάζονται παρὰ τὸ συμφέρον, δυσμαχωτάτη εἶναι κινδυνεύει πασῶν ἡ περὶ τροφὴν ἡδονή. ταῖς μὲν γὰρ ἄλλαις ἡδοναῖς σπανιώτερον ὁμιλοῦμεν, καὶ ἐνίων γε μῆνας καὶ ἐνιαυτοὺς ὅλους ἀπέχεσθαι δυνάμεθα, ταύτης δὲ ἀνὰ πᾶσαν ἡμέ-
20 ραν πάντως πειρᾶσθαι ἀνάγκη, καὶ τά γε πολλὰ δὶς

---

2 *παρεχομένη* —**3** *λαβρότητα*] cf. Clemens Alex. paed. II 11 p. 171 P. *ἔστι γὰρ ὁρᾶν τοὺς τοιούτους ὑσὶν ἢ κυσὶν διὰ τὴν λαβρότητα μᾶλλον ἢ ἀνθρώποις ὠμοιωμένους* **4** cf. Zenonis fr. 31 p. 82 Pearson *σολοικίζειν . . . ὅταν τις . . . ἀτάκτως ἐσθίῃ*

---

1 *ἑαυτῆς*] *ἑαυτοῖς* utroque loco A, sed priore corr. A[1] ‖ **3** *ὁμοιωμένους* M[d]; fort. *ὠμοιωμένους* cui favet Clemens nec repugnat *ὁμοιούμεθα* quod legitur 8 ‖ **11** *οὐκὸν* S *οὐκ ὂν* M[d] Br *οὐκ ἂν* (ὂν supra) A, corr. A[2] ‖ **12** verba *καὶ* (*καὶ* hab. M[d] Br, om. SA) *καθόλου μὲν ἴσως τὸ σωφρονεῖν* ex margine illata esse perspexit Iacobs animadv. in Stob. p. 240, vide mus. Rh. XLI p. 60 et p. 57 adn. 1. fallitur Peerlkamp ‖ **15** malim *ἐνδιδόναι αὐταῖς* vel *ἑαυταῖς*

ἑκάστης ἡμέρας· οὐ γὰρ ἔνι ζῆν ἄλλως τὸν ἄνθρωπον.
ὥσθ' ὅσῳ πλεονάκις τῆς ἐν βρώσει ἡδονῆς πειρώμεθα,
τοσούτῳ πλείους οἱ ἐνταῦθα κίνδυνοι. καὶ μὴν καθ'
ἑκάστην προσφορὰν τροφῆς, οὐχ εἷς κίνδυνος ἁμαρτή-
ματος, ἀλλὰ πλείονες. καὶ γὰρ ὁ παρὰ πλέον ἢ δεῖ 5
ἐσθίων, ἁμαρτάνει, καὶ ὁ κατασπεύδων ἐν τῷ ἐσθίειν
οὐδὲν ἧττον, καὶ ὁ μολυνόμενος ὑπὸ τοῦ ὄψου μᾶλλον
ἢ χρή, καὶ ὁ τὰ ἡδίω τῶν ὑγιεινοτέρων βρώματα προ-
τιμῶν, καὶ ὁ μὴ νέμων τὰ ἴσα τοῖς συνεσθίουσιν.
ἔστι δὲ καὶ ἄλλη τις ἁμαρτία περὶ τροφήν, ὅταν παρὰ 10
καιρὸν προσφερώμεθα αὐτήν, καὶ δέον ἄλλο τι πράτ-
τειν ἀφέμενοι τούτου ἐσθίωμεν. τοσούτων δὴ καὶ ἔτι
ἄλλων ἁμαρτιῶν οὐσῶν περὶ τροφήν, δεῖ μὲν ἁπασῶν
καθαρεύειν αὐτῶν καὶ μηδεμιᾷ ἔνοχον εἶναι τὸν μέλ-
λοντα σωφρονήσειν. καθαρεύοι δ' ἂν τις καὶ ἀνα- 15
μάρτητος εἴη ἀσκῶν καὶ ἐθίζων αὐτὸν αἱρεῖσθαι σῖτον
οὐχ ἵνα ἥδηται ἀλλ' ἵνα τρέφηται, οὐδ' ἵνα λεαίνη-
ται τὴν κατάποσιν ἀλλ' ἵνα ῥωννύηται τὸ σῶμα. καὶ
γὰρ γέγονεν ἡ μὲν κατάποσις δίοδος εἶναι τροφῆς,
οὐχ ἡδονῆς ὄργανον, ἡ δὲ γαστὴρ τοῦ αὐτοῦ χάριν 20

---

5 s. cf. Zenonis locum modo citatum **9** cf. Plut. quaest. conv. II p. 644 B

---

3 *καὶ μὴν* — **18** *τὸ σῶμα* om. MABr ‖ **5** *παρὰ πλέον* scripsi: *παραπλείων* S *πλείων πλείονος* similes formas habent libri in Lucii Musonianis, sed *πλέον* recte supra p 9, 8. 33, 9. 78, 17. cf. L. Dindorf in Xenoph. de re equ. 1, 9 | *ηδη* (sic) S (*ἤθη* Tr.): *ἢ δεῖ* ci. Gesn.[1] p. 148 mrg., et sic cod. Paris. 1985 *ex Gesneri libro* ut recte adnotavit Gaisford ‖ **8** *βρώματα* nescio an secludendum sit ‖ **12** *ἐσθίομεν*, o radendo fecit ex ω S (*ἐσθίομεν* Tr.): tacite corr. Gaisford ‖ **14** *αὐτῶν* videtur S[1] corr. ex *αὐτόν* ‖ **18** v. *καὶ γὰρ* e. q. s. tamquam novam eclogam exhibent lemmate *τοῦ αὐτοῦ* praemisso MA, similiter novum tmema incipit ab his in Br lemmate non addito: cum prioribus cohaerent in S

οὗπερ ἕνεκα καὶ φυτῷ παντὶ ῥίζα γέγονεν. καθάπερ γὰρ ἐκεῖ τρέφει τὸ φυτὸν ἡ ῥίζα ἀπὸ τῶν ἐκτὸς τὴν τροφὴν λαμβάνουσα, οὕτω τρέφει τὸ ζῷον ἡ γαστὴρ ἀπὸ τῶν εἰσφερομένων σίτων καὶ ποτῶν. ὥσπερ τε
5 αὖ τούτοις διαμονῆς ἕνεκα συμβαίνει τρέφεσθαι καὶ οὐχ ἡδονῆς, παραπλησίως καὶ ἡμῖν ζωῆς καὶ φάρμακον ἡ τροφὴ [τῷ ἀνθρώπῳ] ἐστί. διὸ καὶ προσήκει ἐσθίειν ἡμῖν ἵνα ζῶμεν, οὐχ ἵνα ἡδώμεθα, εἴ γε μέλλομεν στοιχεῖν ἀρίστῳ ὄντι τῷ λόγῳ Σωκράτους, ὃς
10 ἔφη τοὺς μὲν πολλοὺς ἀνθρώπους ζῆν ἵνα ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίειν ἵνα ζῇ. οὐ γὰρ δὴ ἐπιεικής τις βουλόμενος εἶναι ἄνθρωπος ἀξιώσει παραπλήσιός τις εἶναι τοῖς πολλοῖς καὶ ζῆν ἐπὶ τῷ ἐσθίειν, ὥσπερ ἐκεῖνοι, θηρώμενος ἐξ ἅπαντος τὴν ἀπὸ τῆς τροφῆς ἡδονήν.

---

5 Clem. Alex. paed. II 1 p. 163 P. ...οὔτε σκοπὸς ἡδονή, ὑπὲρ δὲ τῆς ἐνταῦθα διαμονῆς 9 Σωκράτους] testimonia collegit Sternbach gnomol. Vat. 479. cf. quae dixi ad Stob. III 6, 41. ad Musonium fortasse pertinet Clemens Al. paed. II 1, 1 p. 163 P. cf. strom. VII 14 p. 885 P.

---

4 σίτων SM[d] Br: σιτίων A cf. quae adnotavi p. 94, 7 ‖ 5 αὖ τούτοις SA αὐτοῦ τοῖς M[d] αὐτοῦ τῆς Br ‖ 6 ζωῆς om. Tr.; ζωῆς καὶ delevit Gesn.[1] p. 148 | φάρμακον etiam S. nisi delendum erit καὶ auctore Cobeto, interciderit alter genetivus velut ζωῆς καὶ ⟨οὐχ ἡδονῆς⟩ φάρμακον. intercidisse διαμονῆς coniecerat Gesn.[1] mrg., minus recte λιμοῦ Wyttenbach in Plut. mor. p. 159. 'ζωῆς φάρμακόν ἐστι dicitur noto usu pro ζῆν ποιεῖ, τὸ ζῆν παρασκευάζει, ut apud comicum ὁ δὲ λιμός ἐστιν ἀθανασίας φάρμακον [com. III p. 47]' Cobet mnemos.[2] II p. 97 ‖ 7 τῷ ἀνθρώπῳ seclusi. alterutrum, aut ἡμῖν aut τῷ ἀνθρώπῳ stare non posse viderat Schow qui delevit ἡμῖν probante Peerlkampo. illud commendatur cum numeri concinnitate tum eo quod pergitur διὸ καὶ πρ. ἐσθ. ἡμῖν ‖ 9 στοιχεῖν SM[d] ABr; συστοιχεῖν tacite Gesn.[1] sed vide supra p. 40, 14 ‖ 10 τοὺς μὲν πολλοὺς firmat Gellius N. A. XIX 2, 6 p. 262, 20 Hos. ‖ 12 v. οὐ γὰρ — 14 τροφῆς ἡδονήν om. M[d] ABr ‖ 13 ἐπὶ om. operarius Gesn.[1] ‖ 14 θηρώμενος ci. Nauck: θηρώμενοι libri

Ὅτι δὲ καὶ θεὸς ὁ ποιήσας τὸν ἄνθρωπον τοῦ σῴζεσθαι χάριν, οὐχὶ τοῦ ἥδεσθαι, σῖτα καὶ ποτὰ παρεσκεύασεν αὐτοῖς, μάθοι τις ἂν ἐκεῖθεν μάλιστα. ἡ γὰρ δὴ τροφὴ ὅτε ἐργάζεται μάλιστα τὸ ἑαυτῆς ἔργον, τότε οὐδαμῶς ἥδει τὸν ἄνθρωπον κατά τε τὴν πέψιν καὶ 5 τὴν ἀνάδοσιν, ἀλλὰ τρεφόμεθα μὲν τότε ὑπ' αὐτῆς καὶ ῥωννύμεθα, ἡδόμεθα δὲ τότε οὐδεμίαν ἡδονήν, καίτοι πλείων ὁ χρόνος οὗτός ἐστιν ἢ ἐν ᾧ ἐσθίομεν. ἔδει δέ γε, εἴπερ ὁ θεὸς ἡδονῆς χάριν τὴν τροφὴν ἐμηχανήσατο ἡμῖν, τὸν πλείω τοῦτον χρόνον ἥδεσθαι 10 ἡμᾶς ὑπ' αὐτῆς καὶ οὐ τὸν ἐλάχιστον ἐκεῖνον ἐν ᾧ καταπίνομεν. ἀλλ' ὅμως χάριν ἐκείνου τοῦ ἐλαχίστου χρόνου, ὃν ἡδόμεθα, παρασκευὴ μὲν ὄψων γίνεται

---

1 Clemens Alex. paed. II 1, 5 p. 166 P. *οὐ γάρ που μεμαθήκασι τὸν θεὸν παρασκευάσαι τῷ δημιουργήματι, τῷ ἀνθρώπῳ λέγω, σῖτα καὶ ποτὰ τοῦ σῴζεσθαι χάριν, οὐχὶ δὲ τοῦ ἥδεσθαι.* cf. Seneca ep. 119, 15 *id actum est ab illo mundi conditore, qui nobis vivendi iura discripsit, ut salvi essemus, non ut delicati* **12** sqq. cf. Lucian. Nigr. 33 **13** ss. cf. Gellius VI 16 *M. Varro in satura quam περὶ ἐδεσμάτων inscripsit . . . pleraque id genus quae heluones isti terra et mari conquirunt, exposuit.* Sen. ep. 95, 19 *vide quantum rerum per unam gulam*

---

1 v. *Ὅτι δὲ* — p. 104 l. 6 *βρωμάτων* sic ut infra v. *πᾶν γὰρ τοὐναντίον* p. 104 l. 6 — *τῷ σχολαίῳ* p. 105 l. 9 tamquam duas novas eclogas constituunt lemmate *τοῦ αὐτοῦ* utrique praemisso M (sed inverso ordine M) A, separatas easdem particulas exhibet etiam Br sed lemmate non addito: cum prioribus cohaerent S ‖ **3** *αὐτοῖς* S M^d Br *αὐτῷ* corr. A^2; vix fuit *ἀνοις* i. e. *ἀνθρώποις* ‖ **4** *ὅτι* A^1 corr. A m. inc. ‖ **6** *τὴν* ante *πέψιν* om. M^d Br ‖ *ἀναλοσιν* (sic) S | *μὲν* om. Br ‖ **7** *δὲ τότε οὐδεμίαν ἡδονὴν* S *δὲ οὐδεμίαν* (vel *οὐδὲ μίαν*) *ποτὲ ἡδονὴν* M^d *δὲ οὐδεμίαν τότε ἡδονὴν* A. nescio igitur an supra lineam iteratum fuerit *τότε* ab interprete fueritque olim *ἡδόμεθα δ' οὐδεμίαν ἡδονήν*, et re vera sic legitur in Br ‖ **11** *ἐν*] *ἐν'* M^1 | *ἐν ᾧ* om. A in textu, ubi suprascr. *ὅν*, sed *ἐν ᾧ* A^2 mrg.; fallitur Gaisford referens hanc discrepantiam ad 8 ‖ **12** *χαίρειν* S^1 ubi *χάριν* suprascr. S^2, *χάριν* M^d A Br; *τὸ χαίρειν* interpolavit Gesn.[1]

μυρίων, πλεῖται δ' ἡ θάλαττα μέχρι περάτων· μάγειροι δὲ γεωργῶν περισπουδαστότεροί εἰσι· δεῖπνα δὲ παρατίθενταί τινες ἀγρῶν ἀναλίσκοντες τιμάς, καὶ ταῦτ' οὐδαμῶς ὠφελουμένων τῶν σωμάτων ἐκ τῆς πολυτε- 5 *λείας τῶν βρωμάτων. πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι. τοὺς γοῦν οἰκέτας τῶν δεσποτῶν καὶ τοὺς χωρίτας τῶν ἀστικῶν καὶ τοὺς πένητας τῶν πλουσίων ἴδοις ἂν ὡς ἐπὶ τὸ πλῆθος ῥωμαλεωτέρους ὄντας καὶ μᾶλλον μὲν* 10 *πονεῖν δυναμένους, ἧττον δὲ κάμνοντας ἐν τοῖς ἔργοις, νοσοῦντας δὲ σπανιώτερον, ἀνεχομένους δὲ εὐκολώτερον κρύος, θάλπος, ἀγρυπνίαν, πᾶν εἴ τι τοιοῦτον. καίτοι κἂν ἐπ' ἴσον ἥ τε πολυτελὴς καὶ ἡ εὐτελὴς τροφὴ ῥωννύῃ τὸ σῶμα, ὅμως αἱρετέον ἐστὶ τὴν εὐτελῆ, ὅτι* 15 *αὕτη σωφρονικωτέρα καὶ πρέπει ἀνδρὶ ἀγαθῷ μᾶλλον, ἢ*

---

transiturarum permisceat luxuria, terrarum marisq. vastatrix Iuv. sat. 11, 14 *gustus elementa per omnia quaerunt* **1** cf. Seneca cons. ad Helv. 10, 3 *quod dissolutus deliciis stomachus vix admittat, ab ultimo portatur Oceano. μάγειροι — εἰσι*] Clem. Alex. paed. II 1, 9 p. 169 P. *πολυτιμότεροι γεγόνασιν μάγειροι γεωργῶν* **2** s. Iuvenalis IV 26 *provincia tanti vendit agros* cf. Sen. cons. ad. Helv. 10, 4 **4** *οὐδαμῶς* e. q. s.] Clemens Alex. paed. II 1, 5 p. 166 P. *ἐπεὶ μηδὲ ὠφελεῖσθαι πέφυκε τὰ σώματα ἐκ τῆς πολυτελείας τῶν βρωμάτων· πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι καὶ ὑγιεινότατοι καὶ γενναιότατοι* (*ἰσχυρότεροί εἰσι καὶ ὑγιεινότεροι καὶ γενναιότεροι* Wendland), *ὡς οἰκέται δεσποτῶν καὶ γεωργοὶ κτητόρων· καὶ οὐ μόνον ῥωμαλεώτεροι, ἀλλὰ καὶ φρονιμώτεροι, ὡς φιλόσοφοι πλουσίων* **15** ss. cf. Ps.-Archytas Stobaei flor. 43, 134 vol. II p. 139, 17 ss. Mein.

---

2 *δὲ* (ante *γεωργ.*) S, om. M[d]Br, sup. lin. add. A ‖ **9** *πλῆθος* SM[d]A: *πλεῖστον* S[2] supra vers., A[2] mrg. Br ex em. Gesn.[1] mrg. ‖ **12** *τοιοῦτον* M[d]A: *τοιοῦτο* SBr ‖ **13** *εὐτελὴς* M[d]Br: *λυσιτελὴς* SA ‖ **14** *αἱρετόν* (ε supra) accentu supra ο deleto corr. A[2] ‖ **15** *σωφρονεστέρα* Tr. | *ἢ* SM[d]A: *ὡς* Br quod scripserat Gesn.[1] p. 148; *ἢ* emend. Gesn.[2] p. 167 mrg.

καὶ τὸ εὐπόριστον τοῦ δυσποριστου, καὶ τὸ ἀπραγ-
μάτευτον τοῦ μετὰ πραγμάτων, καὶ τὸ ἕτοιμον τοῦ
ἀνετοίμου πρὸς τροφὴν πρεπωδέστερον τοῖς ἐπιεικέσιν.
ἵνα δὲ συνελὼν εἴπω περὶ τροφῆς τὸ πᾶν, φημὶ δεῖν
σκοπὸν μὲν αὐτῆς ποιεῖσθαι ὑγίειάν τε καὶ ἰσχύν, ὡς 5
τούτων μόνον ἕνεκα βρωτέον, ἃ δὴ δεῖται πολυτελείας
οὐδεμιᾶς· ἐσθίοντα δ' ἐπιμελεῖσθαι κόσμου τε καὶ
μέτρου τοῦ προσήκοντος καὶ τοῦ διαφέρειν πλεῖστον
τῷ τε ἀμολύντῳ καὶ τῷ σχολαίῳ.

XIX.

ΜΟΥΣΩΝΙΟΥ 10

ΕΚ ΤΟΥ

ΠΕΡΙ ΣΚΕΠΗΣ.

Ταῦτα μὲν περὶ τροφῆς εἶπεν. ἠξίου δὲ καὶ σκέ-
πην τὴν σώφρονα τῷ σώματι ζητεῖν, οὐ τὴν πολυτελῆ

4 s. Cic. de off. I 30, 106 (Panaetius) *victus cultusque corporis ad valetudinem referatur et ad vires, non ad voluptatem* Clem. Al. paed. II 3 p. 163 P. τὸ δὲ ἐκ δυοῖν τὸ ζῆν τοῦτο ὑγιείας τε καὶ ἰσχύος σύγκειται, οἷς μάλιστα κατάλληλον τῆς τροφῆς τὸ εὔκολον κτέ. Lucii nostri ut videtur aliquid conservatum est in appendice Vaticana, quam ex codice Vaticano gr. n. 1144 edidit L. Sternbach (Cracov. a. 1893) n. 108 p. 80 Λούκιος ἔφη 'ὥσπερ ἄλειμμα οὐ τὸ ἡδὺ καλόν, ἀλλὰ τὸ ὑγιεινόν, οὕτως καὶ τροφὴ οὐχὶ ἡ ἡδεῖα καλή, ἀλλὰ τὴν ὑγείαν ἡ ποριζομένη'

3 πρὸς SBr περὶ M[d] A ‖ **4** δὴ pro δεῖν A ‖ **5** αὐτῆς supra lin. S | ποιεῖσθε (αι superscr.) corr. A[2] | ὑγιείαν A ‖ **6** μόνων Br | δὴ supra lin. A ‖ **9** μολύντῳ A sed ἀ superscr. A[2] ‖ **10** Stobaeus III 1, 209 H. ecl. cum lemm. hab. MABr μουσουνίου (compend.) nihil amplius Br ‖ **13** μὲν om. A, ubi v. ταῦτα — εἶπεν uncinis inclusa signo + supro lin. addito ‖ **14** τὴν σώφρονα Peerlkamp p. 334 recte monens σώφρων saepe de rebus dici, vid. Iacobs lect. Stob. p. 139: τὸν σώφρονα MABr

καὶ περιττήν· εὐθὺς γὰρ ἐσθῆτι καὶ ὑποδέσει τὸν
αὐτὸν τρόπον ἔφη εἶναι χρηστέον, ὅνπερ πανοπλίᾳ,
φυλακῆς ἕνεκεν τοῦ σώματος, ἀλλ' οὐκ ἐπιδείξεως.
ὥσπερ οὖν ὅπλα κάλλιστα τὰ ἰσχυρότατα καὶ σῴζειν
5 μάλιστα δυνάμενα τὸν χρώμενον, οὐ τὰ περίβλεπτα
καὶ λαμπρά, οὕτως ἀμπεχόνη καὶ ὑπόδεσις ἡ χρησιμω-
τάτη τῷ σώματι κρατίστη καὶ οὐχ ἡ δυναμένη τὰς
τῶν ἀνοήτων ὄψεις ἐπιστρέφειν. δεῖ γὰρ τὴν σκέπην
αὐτὸ αὑτοῦ κρεῖττον ἀποφαίνειν τὸ σκεπόμενον καὶ
10 ἰσχυρότερον, ἀλλ' οὐκ ἀσθενέστερόν τε καὶ χεῖρον.
οἱ μὲν οὖν λειότητά τε καὶ ἁπαλότητα σαρκὸς διὰ τῶν
σκεπασμάτων μηχανώμενοι χείρω τὰ σώματα ποιοῦσιν,
εἴ γε τὸ τεθρυμμένον σῶμα καὶ μαλακὸν πολὺ κάκιον
τοῦ σκληροῦ τε καὶ διαπεπονημένου ἐστίν· οἱ δὲ ῥων-
15 νύντες καὶ κρατύνοντες τῇ σκέπῃ, οὗτοι τὰ σκεπόμενα
μόνοι ὠφελοῦσιν. διὰ τοῦτο οὐδαμῶς καλὸν οὔτε
ἐσθῆσι πολλαῖς κατασκέπειν τὸ σῶμα οὔτε ταινίαις

---

2 cf. Clemens Alex. paed. II 116 p. 223 s. P. 116 p. 240 P.
5 *περίβλεπτα* — 8 *ἐπιστρέφειν*] cf. Clem. Alex. paed. II 114 p. 238 s. P. Arr. Epict. diss. IV 9, 7 *ἐσθῆτα ἐπιδεικνύειν θέλεις στιλπνήν, ἵνα τὰς γυναῖκας ἐπιστρέφῃς* 8 ss. Clemens Alex. paed. 115 p. 239 P. *δεῖ δὲ τὴν σκέπην, οἶμαι, αὐτὸ αὑτοῦ* (*αὐτοῦ* cod. Mut. *αὑτοῦ* alii) *κρεῖττον ἀποφαίνειν τὸ σκεπόμενον* cf. Ps.-Luc. Cyn. c. 4 *τῆς δὲ σκέπης αὐτῆς πρὸς θεῶν τίνος ἐδεήθημεν ἕνεκα; οὐχ ὥστε ἄμεινον ἔχειν τὸ σκεπόμενον;*
16 *διὰ τοῦτο κτέ.*] respici Platonem leg. XII p. 942 D monuit Valckenaer ad Herodot. III 12

---

2 *ὅσπερ* ut videtur A | *πανοπλίαν* M[1d] ‖ 3 *ἕνεκεν* alibi non legi videtur in Musonianis Stobaei ‖ 4 *ἰσχυρώτατα* M[d] ‖ 6 *ὑπόδησις* A ‖ 8 *τὴν σκέπην* (ut coniecit Peerlkamp) M[d] A Br: *τῆς σκέπης* tacite scripserat Gesn.[2] p. 17 ‖ 9 *αὐτὸ αὑτοῦ* Clem.: *αὐτῆς* M[d] A Br; illud verum esse docuit Th. Pflieger *Musonius bei Stob.* diss. Friburg. a. 1897 p. 29, 1 ‖ 10 *χείρονα* A ‖ 11 *λευκότητα* coni. Peerlkamp ‖ 16 *μόνα* A ‖ 17 *ἐσθῆσϊ* sed ϊ e corr., post ϊ duae litt. erasae (fuerat *ἐσθήσεσι*) A: *ἐσθήσεσι* M[d] Br

κατειλεῖν οὔτε χεῖράς τε καὶ πόδας περιδέσει πίλων
ἢ ὑφασμάτων τινῶν μαλακύνειν, τούς γε μὴ νοσοῦν-
τας· οὐδ' ὅλως εἶναι ἀγεύστους καλὸν ψύχους τε καὶ
θάλπους, ἀλλὰ ῥιγοῦν χρὴ τὰ μέτρια χειμῶνος καὶ
ἡλιοῦσθαι θέρους καὶ σκιατροφεῖσθαι ἥκιστα. καὶ τὸ 5
μὲν ἑνὶ χρῆσθαι χιτῶνι τοῦ δεῖσθαι δυοῖν προτιμητέον,
τοῦ δ' ἑνὶ χρῆσθαι χιτῶνι τὸ μηδενί, ἀλλὰ ἱματίῳ
μόνον. καὶ τοῦ γε ὑποδεδέσθαι τὸ ἀνυποδετεῖν τῷ
δυναμένῳ κρεῖττον· κινδυνεύει γὰρ τὸ μὲν ὑποδεδέ-
σθαι τῷ δεδέσθαι ἐγγὺς εἶναι, ἡ δ' ἀνυποδησία πολ- 10
λήν εὐλυσίαν τινὰ καὶ εὐκολίαν παρέχει τοῖς ποσίν,
ὅταν ἠσκημένοι ὦσιν. ὅθεν καὶ τοὺς ἡμεροδρόμους
ὁρᾶν ἔστιν οὐ χρωμένους ὑποδήμασιν ἐν ταῖς ὁδοῖς
καὶ τῶν ἀθλούντων τοὺς δρομεῖς οὐκ ἂν δυναμένους
σῴζειν τὸ τάχος, εἰ δέοι τρέχειν αὐτοὺς ἐν ὑποδήμα- 15
σιν. ἐπεὶ δὲ σκέπης ἕνεκα καὶ τὰς οἰκίας ποιούμεθα,
φημὶ καὶ ταύτας δεῖν ποιεῖσθαι πρὸς τὸ τῆς χρείας
ἀναγκαῖον, ὡς ἀπερύκειν μὲν κρύους, ἀπερύκειν δὲ
θάλπους τὸ σφοδρόν, εἶναι δ' ἡλίου καὶ ἀνέμων ἐπι-

---

8 s. cf. Xenoph. apomn. I 6, 2 de Socrate *ἱμάτιον ἠμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους τε καὶ χειμῶνος, ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς.* Cynicus *ἔχων . . . μηδὲ χιτῶνα* dicitur ap. Arr. Epict. diss. IV 8, 31, *seminudus* Demetrius Senecae ep. 62, 3. cf. Marcus Antoninus IV 30 **9** Clemens Alex. paed. II p. 240 P. *καὶ γάρ πως ἐγγὺς τὸ ὑποδεδέσθαι τῷ δεδέσθαι.* cf. Dio Prus. or. VI 15 p. 86 Arn. **10** s. Lycurgus Xenophontis rei p. Lac. 2, 3 dicitur *νομίζων . . . δραμεῖν θᾶττον ἀνυπόδητον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον*
16 ss. cf. Seneca ep. 8, 5. 90, 41 **19** Seneca ep. 90, 17

---

3 *ψύχους* (sic ut tacite corr. Gesn.[2]) A Br: *ψύχασ* M[d] ‖ **5** *ἠλιεῦσθαι* M[d] ‖ **6** *μὲν ἐν ἑνί* A | *χρῆσθαι χιτῶνι* om. Br ‖ **10** *τῷ δεδ. ἐγγὺς*] dativus legitur etiam supra Muson. p. 79, 1, sed genetivus p. 4, 9 | ante *ἐγγὺς* duodecim fere litterae erasae in M | *ἂν ὑποδησία* M[d] ‖ **11** *παρέχειν* Br ‖ **15** *δέει* Br ‖ **18** *κρύους* scripsi: *κρύος* libri ‖ **19** *θάλπους* (ut coniecit Peerlkamp) M[d] A Br;

κούρημα τοῖς δεομένοις. καθόλου δὲ ὅπερ ἂν παρέχοι
σπήλαιον αὐτοφυές, ἔχον μετρίαν ὑπόδυσιν ἀνθρώπῳ,
τοῦτο χρὴ παρέχειν ἡμῖν τὴν οἰκίαν, τοσοῦτον εἴπερ
ἄρα περιττεύουσαν, ὅσον καὶ ἀπόθεσιν τροφῆς ἀνθρω-
5 πίνης ἐπιτηδείαν ἔχειν. τί δ' αἱ περίστυλοι αὐλαί;
τί δ' αἱ ποικίλαι χρίσεις; τί δ' αἱ χρυσόροφοι στέγαι;
τί δ' αἱ πολυτέλειαι τῶν λίθων, τῶν μὲν χαμαὶ συν-
ηρμοσμένων, τῶν δ' εἰς τοίχους ἐγκειμένων, ἐνίων
καὶ πάνυ πόῤῥωθεν ἠγμένων [λίθων] καὶ δι' ἀναλω-
10 μάτων πλείστων; οὐ ταῦτα πάντα περιττὰ καὶ οὐκ
ἀναγκαῖα, ὧν γε χωρὶς καὶ ζῆν καὶ ὑγιαίνειν ἔστι,
πραγματεῖαν δ' ἔχει πλείστην, καὶ διὰ χρημάτων γίνε-
ται πολλῶν, ἀφ' ὧν ἄν τις ἐδυνήθη καὶ δημοσίᾳ καὶ
ἰδίᾳ πολλοὺς ἀνθρώπους εὐεργετῆσαι; καί τοι πόσῳ

'opus est tamen calorem solis aestivi umbra crassiore propellere'. quid ergo? non vetustas multa abdidit loca, quae vel iniuria temporis vel alio quolibet casu excavata in specum recesserunt?
5 Philo de somn. 2, 8, 54 p. 267, 15 s. W. *τί οὖν τὰ μὲν ἐδάφη καὶ τοὺς τοίχους πολυτελέσι λίθοις διακοσμοῦμεν;* Hierocles Stob. flor. 67, 24 III p. 10, 2 ss. M. cf. Tibull. III 3, 13 *quidve domus prodest Phrygiis innixa columnis, Taenare sive tuis, sive Caryste tuis, et nemora . . . aurataeque trabes marmoreumque solum?* **6** *τῶν . . . χρυσορόφων οἰκιῶν οὐδέν τι μᾶλλον σκεπουσῶν* commonet Ps.-Lucianus Cyn. 9 Seneca ep. 114, 9 *ubi luxuriam late felicitas fudit, cultus primum corporum esse diligentior incipit. deinde supellectili laboratur. deinde in ipsas domos inpenditur cura, ut in laxitatem ruris ex-*

θάλπος male Gesn.[2] | *ἡλίου*] *leg. ὑετοῦ ne bis idem dicat* Iacobs in ora exemplaris quod possedit Gesneriani ‖ **1** *παρέχῃ* Br ‖ **4** *περιττεύουσαν* (ut coniecit Lorenz apud Iacobsium *Sokr.*[4] p. 282) A: *περιττεύουσα* M[d] Br ‖ **6** *δὲ αἱ ποικ.* libri ut videtur | *χρίσεις* (ut coniecit Gesn.[2] p. 18 mrg.) Br: *χρήσεις* M[d] A; vide Beving *rem. crit.* p. 12 et quae monui ego mus. Rh. XLI p. 61 | *δ'* ni fallor in A: *δαὶ* M[d] *δὲ* Br | *χρυσόροφοι* Br: *χρυσόρροφοι* M[d] A ‖ **9** *ἡμμένων* Br | *λίθων* secludendum esse perspexit Peerlkamp p. 342 ‖ **11** *γε* scripsi: *τε* libri | *καὶ ὑγιαίνειν καὶ ζῆν* A

μὲν εὐκλεέστερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς εὐεργετεῖν; πόσῳ δὲ καλοκἀγαθικώτερον τοῦ ἀναλίσκειν εἰς ξύλα καὶ λίθους τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τοῦ περιβεβλῆσθαι μεγάλην οἰκίαν τὸ κεκτῆσθαι φίλους πολλούς, ὃ περιγίνεται τῷ προθύμως εὐεργετοῦντι; τί δ' ἂν ὄναιτό τις τηλικοῦτον ἀπ' οἰκίας μεγέθους τε καὶ κάλλους, ἡλίκον ἀπὸ τοῦ χαρίζεσθαι πόλει καὶ πολίταις ἐκ τῶν ἑαυτοῦ;

XX.

ΜΟΥΣΩΝΙΟΥ
ΕΚ ΤΟΥ
ΠΕΡΙ ΣΚΕΥΩΝ.

Καὶ μὴν συνῳδὰ καὶ συγγενῆ τῇ περὶ τὰς οἰκίας πολυτελείᾳ καὶ τὰ τῶν σκευῶν τῶν κατ' οἰκίαν φαίνεται ὄντα, κλῖναι καὶ τράπεζαι καὶ στρώματα καὶ

---

currant, ut parietes advectis trans maria marmoribus fulgeant, ut tecta varientur auro, ut lacunaribus pavimentorum respondeat nitor. ib. 115, 8 (*columnae*) *sive ex Aegyptiis harenis sive ex Africae solitudinibus advectae* **1** sqq. Clemens Alex. paed. II 12 p. **243** P. πόσῳ μὲν γὰρ εὐκλεέστερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς εὐεργετεῖν; πόσῳ δὲ συνετώτερον τοῦ εἰς λίθους καὶ χρυσίον τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τῶν ἀψύχων κοσμίων τὸ φίλους κεκτῆσθαι κοσμίους; τίνα δ' ἂν ἀγροὶ τοσοῦτον ὅσον τὸ χαρίζεσθαι ὠφελήσειαν;

---

1 τοῦ libri nisi quod τουτο (sic) A ‖ **2** ἀναλίσκειν om. Clem. fortasse recte ‖ **5** ὃ περιγίνεται M[d] Br: ὅπερ γίνεται A receperunt Gaisford et Meineke. non melius est ὅπερ περιγίνεται ‖ **6** ὤνητο vel ὤνετο A ‖ **9** Stobaeus flor. 85, 20 Mein. ecl. cum lemm. hab. SLMA; ἐκ^τ π^ε σκευῶν S ἐκ τοῦ παρασκευῶν: - L ‖ **12** τῇ etiam L | τᾶς οἰκίας S | πολυτελείας (ας compend.) L ‖ **13** τὰ SL τὰν M τὰσ A[1] sed σ ita ut appareat scribam correctionem indicare | κατοικίαν M ‖ **14** κλίναι libri

ἐκπώματα καὶ εἴ τι τοιοῦτον, πάντως τὴν χρείαν
ὑπερβεβηκότα καὶ προσωτέρω τῶν ἀναγκαίων ἐληλυ-
θότα· κλῖναι μὲν ἐλεφάντιναι καὶ ἀργυραῖ ἢ νὴ Δία
χρυσαῖ, τράπεζαι δὲ παραπλησίας ὕλης, στρωμναὶ δὲ
5 ἁλουργεῖς καὶ ἄλλων χρωμάτων δυσπορίστων, ἐκπώ-
ματα δὲ χρυσοῦ καὶ ἀργύρου πεποιημένα, τὰ δὲ λίθων
ἢ λιθοειδῶν τινων ἁμιλλωμένων τῇ πολυτελείᾳ τοῖς
ἀργυροῖς καὶ χρυσοῖς. καὶ σπουδάζεται ταῦτα πάντα,
τοῦ μὲν σκίμποδος οὐδὲν κακίω παρεχομένου κατά-
10 κλισιν ἡμῖν τῆς ἀργυρᾶς ἢ τῆς ἐλεφαντίνης κλίνης,
τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι ὥστε
μὴ δεῖσθαι πορφυρίδος ἢ φοινικίδος· ἐσθίειν δ' ὑπ-
άρχοντος ἡμῖν ἀβλαβῶς ἀπὸ τραπέζης ξυλίνης ὡς μὴ
ποθεῖν μηδαμῶς τὴν ἀργυρᾶν, καὶ πίνειν γε νὴ Δία

---

1 Clem. Al. paed. II 35 p. 188 P. *χρυσὸς . . . κτῆμα τὴν χρείαν ὑπερβεβηκὸς* ibid. 37 p. 189 P. *ὧν* (sc. *σκευῶν*) *μέτρον ἡ χρεία, μὴ ἡ πολυτέλεια γινέσθω* 3 Clem. Al. paed. II 35 p. 188 P. *κλῖναί τε ἀργυρόποδες καὶ ἐλεφαντοκόλλητοι . . . στρωμναί τε ἁλουργεῖς καὶ ἄλλων χρωμάτων δυσπορίστων* cf. Ps.-Luc. Cyn. 9 5 Clem. Al. paed. II 35 p. 188 P. *ἐκπωμάτων τοίνυν ἀργύρου καὶ χρυσοῦ πεποιημένων λιθοκολλήτων τε ἄλλων ἄθετος ἡ χρῆσις, ὄψεως ἀπάτη μόνον* 8 Clem. Al. paed. II 37 p. 190 P. *ἐγὼ δέ φημι καὶ τοῦ σκίμποδος* (sic Wendland quaest. Mus. p. 30: *τοὺς σκίμποδας* cod.) *οὐδὲν κακίω παρεχομένου* (vulg. -ους) *κατάκλισιν τῆς ἐλεφαντίνης κλίνης, τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι, ὥστε μὴ δεῖσθαι φοινικίδων ἢ πορφυρίδων, κατεγνῶσθαι ὅμως τῆς εὐτελείας δι' ἀβελτερίαν ἀρχεκάκου τρυφῆς* 14 cf. Ps.-Luc. Cyn. c. 9 *τῶν δὲ ἐκπωμάτων τῶν ἀργυρῶν οὐκ ὠφελούντων τὸν πότον οὐδὲ τῶν χρυ-*

---

1 *πάντα* libri, etiam L, e quo *πάντως* enotatur falso apud Gaisfordum ‖ **2** *προσω*[τω] L ‖ **3** *καὶ* (*ἢ* Meineke) *νὴ Δία* Iacobs: *ἐν εἴδει δὲ* libri, etiam A ‖ **4** *στρῶνναι* M | pro *δὲ* quod in A legitur *ὅ* videtur *δὲ* particulae compendii forma esse vitiata ‖ **5** *ἀλουργίς* (*ἀλ-* MTr.) et mox *χρημάτων* libri: correxerunt ex Clem. ‖ **10** *ἐλεφαντίνου* L ‖ **13** pro *ξυλίνης* spatium sex fere vel octo litterarum, rubricator inscripsit signum hoc ⊓

ἐκ κεραμεῶν ποτηρίων παρόν, ἃ τό τε δῖψος σβεννύειν
παραπλησίως πέφυκε τοῖς χρυσοῖς, καὶ τὸν ἐγχεόμενον
αὐτοῖς οἶνον οὐ λυμαίνεται, ὀσμὴν δέ γε ἡδίω τῶν
χρυσῶν παρέχεται καὶ τῶν ἀργυρῶν. καθόλου δ' ἀρετὴ
καὶ κακία σκευῶν κριθείη ἂν ὀρθῶς ἐκ τριῶν τούτων, 5
τῆς τε κτήσεως καὶ τῆς χρήσεως καὶ τῆς τηρήσεως.
ὅσα μὲν γὰρ ἢ κτήσασθαι δύσκολά ἐστιν ἢ χρήσασθαι
μὴ ἐπιτήδεια ἢ φυλάξαι μὴ ῥᾴδια, ταῦτα χείρω· ἃ δὲ
καὶ κτώμεθα μὴ χαλεπῶς καὶ χρώμενοι ⟨εὐκόλως⟩
ἐπαινοῦμεν καὶ φυλάττομεν ῥᾳδίως, ταῦτα ἀμείνω. 10
διόπερ τὰ κεραμεᾶ καὶ τὰ σιδηρᾶ καὶ ὅσα τοιαῦτα,
πολλῷ κρείττω τῶν ἀργυρῶν τε καὶ χρυσῶν, ὅτι ἡ
κτῆσις τούτων εὐμαρεστέρα, ὅσῳ καὶ εὐτελεστέρα, ἥ τε
χρῆσις πλείων, ὅτι καὶ πυρὶ ῥᾳδίως ταῦτ' ἐμβάλλομεν,
ἐκεῖνα δὲ οὔ, ἥ τε φυλακὴ ἥττων· τὰ γὰρ εὐτελῆ τῶν 15
πολυτελῶν ἐπιβουλεύεται ἧττον. μέρος δέ τι τῆς
φυλακῆς οὖσα καὶ ἡ ἐκκάθαρσις περὶ τὰ πολυτελῆ
πλείων ἐστίν. ὥσπερ οὖν ἵππος ὁ τιμῆς μὲν ἐωνη-

σῶν οὐδ' αὖ τῶν ἐλεφαντίνων κλινῶν τὸν ὕπνον ἡδίω παρεχομένων 3 cf. Clem. Alex. paed. II 35 p. 188 P. μεταδίδωσι τῆς ποιότητος ἡ ὕλη λυμαινομένη τὸ κρᾶμα 7 cf. Clem. Al. paed. II 38 p. 190 P. ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς καὶ χρώμενοι εὐκόλως ἐπαινοῦμεν καὶ φυλάττομεν ῥᾳδίως καὶ κοινωνοῦμεν εὐκόλως αὐτῶν, . . . (lacunam indicavit Wendland l. c. p. 30) ἀμείνω δὴ τὰ χρήσιμα, βελτίω δὲ δήπουθεν τὰ εὐτελέστερα τῶν πλουσίων

---

1 κεραμέων libri: correxit Wendland | παρὼν M ‖ 3 αὐτοῖς οἶνον S αὐτοῖσ οἶνον αὐτοῖσ M οἶνον αὐτοῖς LA ‖ 7 γὰρ ἢ κτήσασθαι LA: γάρρα κτήσασθαι S γὰρ (vel γάρ) ακτήσασθαι M; γὰρ κτ. Tr. p. 467 ‖ 9 καὶ (ante κτώμ.) om. A | εὐκόλως ex Clem. addendum putavit Peerlkamp p. 345 cui adstipulatus est Iacobs lect. Stob. p. 128: omisit gnomologus Stobaei ‖ 11 κεραμεᾶ scripsi: κεράμεα libri ex -ῖα corr. A[1] | σιδηρᾶ SA σιδηρὰ M σιδήρεα L ‖ 12 πολλῷ LM: πολλά SA | τε om. A ‖ 15 ἥττων Tr.: ἥττω SLMA ‖ 16 ἧττον ex ἥττων corr. L ‖ 17 ἡ om. L ‖ 18 πλειών ἐστιν M | μὲν om. A | ἐωρημένος M

μένος ὀλίγης, χρείας δὲ παρεχόμενος πολλάς, αἱρετώτερος τοῦ ὀλίγα μὲν ὑπουργοῦντος, πολλοῦ δ' ἠγορασμένου· κατὰ τὰ αὐτὰ καὶ σκεύη τὰ εὐτελέστερα καὶ πολυχρηστότερα κρείττω τῶν ἐναντίων. τί ποτ' οὖν
5 διώκεται τὰ σπάνια καὶ πολυτελῆ πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν; ὅτι ἀγνοεῖται τὰ καλὰ καὶ τἀγαθά, καὶ ἀντὶ τῶν ὄντων τὰ δοκοῦντα σπουδάζεται παρὰ τοῖς ἀνοήτοις· ὥσπερ δὴ καὶ οἱ μαινόμενοι πολλάκις λευκὰ τὰ μέλανα νομίζουσιν· ἄνοια δὲ μανίας συγγε-
10 νέστατον. ἐπεὶ τῶν γε νομοθετῶν τοὺς ἀρίστους, καὶ ἐν πρώτοις Λυκοῦργον εὕροιμεν ἂν πολυτέλειαν μὲν ἐξελαύνοντα τῆς Σπάρτης, ἀντεισάγοντα δ' εὐτέλειαν καὶ τὸ ἐνδεὲς τῆς διαίτης τοῦ περιττοῦ προτιμῶντα πρὸς ἀνδρείαν, καὶ τὴν μὲν τρυφὴν ὡς λύμην ἐκτρε-
15 πόμενον, τὸ δ' ἐθελόπονον ὡς σωτήριον ζηλοῦν ἀξιοῦντα. τεκμήρια δὲ τούτων αἱ τῶν ἐφήβων ἐκεῖ καρτερήσεις, ἐθιζομένων φέρειν λιμόν τε καὶ δῖψος, καὶ

---

4 cf. Clem. Al. paed. II 115 p. 239 P. *τί ποτ' οὖν διώκετε τὰ σπάνια καὶ πολυτελῆ πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν; ὅτι ἀγνοεῖτε τὸ ὄντως καλὸν καὶ τὸ ὄντως ἀγαθὸν καὶ ἀντὶ τῶν ὄντων τὰ δοκοῦντα παρὰ τοῖς ἀνοήτοις σπουδάζετε, οἳ τοῖς μεμηνόσιν ἐπ' ἴσης τὰ λευκὰ ὡς μέλανα φαντάζονται.* cf. Plut. de cup. divit. p. 523 F Callim. epigr. 31 Wil. **8** s. Arr. Epict. diss. IV 1, 136 *πότε γὰρ σκέπτῃ, εἰ τὰ μέλανα λευκά ἐστιν, εἰ τὰ βαρέα κοῦφα;* ib. I 11, 9. 18, 6 **9** cf. Diog. Laert. VII 124 Stobaeus II 7, 5[b 13] p. 68, 18 W. Cic. parad. 4 Tusc. III 5, 10

---

1 *παρεχόμενον* compendiose L ‖ **2** *ὑπουργούντως* A ‖ **4** *ποτε ἦν διώκετε* A ‖ **7** *περὶ* pro *παρὰ* compendiose L ‖ **9** *μέλανὰ* duplici accentu sed deleto priore S[1] ‖ **12** *τοῖς σπάρτοις* A | *ἀντεισάγοντο* L ‖ **13** *διαίττης* L | *προτιμῶντα* LTr.: *προτιμῶν* SMA ‖ **14** *ἀνδρίαν* A ‖ **15** *δ' ἐθελόπονον* Tr.: *δὲ θελέπονον* SLMA | *ζηλοῦν* (*δηλ-* L) *ἀξιοῦντα* SLM: *ἀξιοῦντα ζηλοῦν* A ‖ **17** *καρτερήματα* (sed in prioribus *αἱ*) compendiose L | *ἐθιζομένων* Iacobs addit. animadv. in Ath. p. 356 et Peerlkamp: *ἐθιζόμεναι* SLM *ἐθιζόμενα* A

μετὰ τούτων ῥῖγος, ἔτι δὲ πληγὰς καὶ πόνους ἄλλους . . . σεμνοῖς ἔθεσιν οἱ παλαιοὶ Λακεδαιμόνιοι τραφέντες ἄριστοι τῶν Ἑλλήνων ἦσάν τε καὶ ἐνομίζοντο, καὶ τὴν πενίαν τὴν ἑαυτῶν ζηλωτοτέραν τοῦ βασιλέως πλούτου κατέστησαν. ἐγὼ δ' οὖν καὶ αὐτὸς δεξαίμην 5
ἂν νοσῆσαι μᾶλλον ἢ τρυφῆσαι. τὸ μὲν γὰρ νοσεῖν μόνον βλάπτει τὸ σῶμα, τὸ δὲ τρυφᾶν ἄμφω διαφθείρει, ψυχήν τε καὶ σῶμα, σώματι μὲν ἀσθένειαν καὶ ἀδυναμίαν, ψυχῇ δὲ ἀκολασίαν καὶ ἀνανδρίαν ἐμποιοῦν. καὶ μὴν καὶ ἀδικίαν τίκτει τρυφή, ὅτι καὶ πλεονεξίαν. 10
οὔτε γὰρ τρυφῶντά τινα δυνατὸν μὴ πολυτελῆ εἶναι, οὔτε πολυτελῆ ὄντα ὀλίγα βούλεσθαι ἀναλίσκειν, βουλόμενον δὲ πολλὰ μὴ καὶ πορίζειν πολλὰ ἐπιχειρεῖν, οὐδ' αὖ πορίζειν ἐπιχειροῦντα πολλὰ μὴ πλεονεκτεῖν καὶ ἀδικεῖν· οὐ γὰρ ἂν πορίσειέ τις ἐκ δικαίων πολλά. 15
ἔτι καὶ ἄλλον τρόπον ἄδικος ἂν εἴη πάντως ὁ τρυφῶν· καὶ γὰρ ὑπὲρ πόλεως τῆς αὑτοῦ πονεῖν τοὺς προσήκοντας πόνους ὀκνήσειεν ἂν ἢ οὐκ ἂν ἔτι τρυφῴη,

---

1 Plut. vit. Lyc. c. 18 Cic. Tusc. disp. II 14, 34 4 Persarum regem de felicitate provocabant Cynici, cf. Luc. vit. auct. 9

---

1 *πόνους ἄλλους* (post *ἄλλους* plene distinxit S) *σεμνοῖς ἔθεσιν* SMA: *πόνους· ἀλλ' ὡς σεμνοῖς* (om. *ἔθεσιν*) L; *πόνους· ἀλλ' ὡς σεμνοῖς ἔθεσιν* scripserunt Gaisford et Meineke. ego malui lacunam indicare cum Gesnero[1] f. 434v, et *πόνους ἄλλους·* ⟨*ἐν οὕτω*⟩ *σεμνοῖς ἔθεσιν* proposuit Iacobs l. c., *πόνους ἄλλους.* ⟨*οὕτω καλοῖς καὶ*⟩ *σεμνοῖς ἔθεσιν* haud male Peerlkamp p. 347 ‖ **2** *παλαιοὶ* Iacobs l. c.: *πολλοὶ* libri ‖ **6** *νοῆσαι* A[1] corr. A[2] ‖ **7** *βλάπτειν* S | *διαφθείροι* M ‖ **10** *καὶ* om. L | *τρυφὴ* sed *ἡ* corr. ex *ὴν* L | *τροφὴ* M | *ὅτι* SLM: *ὅτε* A quod receperunt Gaisford et Meineke ‖ **11** *ὅτε* pro *οὔτε* M ‖ **12** *βουλόμενόν δὲ πολλὰ μὴ καὶ* SMA *βουλόμενος δὲ μὴ καὶ πολλὰ* L; ⟨*οὔτ' ἀναλίσκειν*⟩ *βουλόμενον* [*δὲ*] *πολλὰ μὴ καὶ* coni. Nauck ‖ **15** *πορίσειέν τις* M ‖ **16** *ἂν* sup. lin. S[1] ‖ **17** *αὐτοῦ* libri

κἂν ὑπὲρ φίλων ἢ συγγενῶν κακοπαθῆσαι δέον, οὐκ
ἂν ὑπομείνειεν· οὐ γὰρ ἐάσει αὐτὸν ἡ τρυφή. καὶ
μὴν καὶ διὰ θεοὺς ἔστιν ὅτε πονητέον τῷ δικαίῳ εἶναι
βουλομένῳ πρὸς θεούς, ὅτι θυσίας ἢ τελετὰς ἤ τινα
5 ἄλλην ὑπηρεσίαν τελέσει τοῖς θεοῖς, ὁ δὲ τρυφῶν ἐν-
δεήσει κἀνταῦθα. διόπερ ἄδικος ἂν εἴη πάντως καὶ
περὶ πόλιν καὶ περὶ φίλους καὶ περὶ θεούς, ἃ χρὴ
πράττειν αὐτὸν οὐ πράττων. ὡς οὖν καὶ ἀδικίας αἰτίαν
οὖσαν τὴν τρυφὴν φευκτέον τρόπῳ παντί.

XXI.

10 ## ΕΚ ΤΟΥ ΠΕΡΙ ΚΟΥΡΑΣ.

Ἔφη μὲν παραπλησίως τὸν ἄνδρα χρῆναι τῇ κε-
φαλῇ προσφέρειν κουράν, ὡς ἀμπέλῳ προσφέρομεν
τομήν, τοῦ μόνον ἀφαιρεῖν χάριν τὸ ἄχρηστον ......
οὔτε γενείῳ πώγωνα, ἀλλ' εἶναί τινα καὶ ταύτην σκέ-
15 πην ὑπὸ τῆς φύσεως ἡμῖν πεπορισμένην· τὸν δὲ πώ-
γωνα καὶ σύμβολον γεγονέναι τοῦ ἄρρενος, ὥσπερ
ἀλεκτρυόνι λόφον καὶ λέοντι χαίτην· ὅθεν τῆς μὲν

10 Chrysippus ap. Ath. XIII p. 565 a. 17 cf. Clemens Alex.

1 δέον SMA δὲ (fuerit compendium vocabuli δέον) L; δέῃ Tr. p. 408 ‖ 2 καὶ ante διὰ om. A ‖ 3 θεούς (θεοῦσ M) ἐστιν LM | ὅτε ex ὅτι corr. L ‖ 4 πρὸς θεοὺς abundare monet Meineke ‖ 5 ἐνδιοίσει A ‖ 6 κἀνταῦθα] primas litteras corr. ex περι S[1] ‖ 7 καὶ τὴν πόλιν καὶ τοὺς φίλους καὶ τοὺς θεοὺς L ‖ 10 Stobaeus III 6, 24 H. ecl. cum lemm. hab. LMABr; Μουσωνίου non iterant LM[d] addit Br, τοῦ αὐτοῦ A ‖ 11 Ἔφημεν L ‖ 13 τοῦ LM[d] A Br; οὐ nescio quo errore Gesn.[3] p. 83 | ἀφαίρειν L | post ἄχρηστον non nihil deesse manifestum. Meinekio videntur intercidisse οὔτε γὰρ ἀμπέλῳ μάτην δεδόσθαι φύλλα, plura mihi, quorum extrema fuerint talia εἶναι δ' οὔτε κεφαλῇ κόμην πάντως ἄχρηστον ‖ 14 οὔτε LM[d] A οὗτοι ex οὕτω ut videtur corr. Br[1] ‖ 15 τε post ἡμῖν add. L | πεπορισμένην sed ρ e corr. M[1] ut videtur ‖ 17 ἀλεκτρυόνι, sed ρ in ras. M[1]

κόμης ἀφαιρετέον εἶναι τὸ ἐνοχλοῦν, τοῦ δὲ πώγωνος οὐδέν. οὐδὲ γὰρ ἐνοχλεῖν αὐτὸν οὐδέν, ἕως ἂν ὑγιαίνῃ τὸ σῶμα ἢ νόσον μὴ τοιαύτην νοσῇ, ἧς εἵνεκα γένοιτ' ἂν ἀφαίρεσις τῶν ἐπὶ τοῦ γενείου τριχῶν. εὖ γὰρ εἴρηται, ἔφη, τὸ τοῦ Ζήνωνος, ὅτι τούτου ἕνεκα καρτέον 5
οὗ καὶ κομητέον, τοῦ κατὰ φύσιν, ἵνα μὴ βαρούμενός τις ὑπὸ τῆς κόμης μηδ' ἐνοχλούμενος ᾖ πρὸς μηδεμίαν ἐνέργειαν. ἡ γὰρ δὴ φύσις τὸ μὲν ἐνδεὲς μᾶλλον φαίνεται φυλαξαμένη, τὸ δὲ περιττὸν ἧττον, ἐπί τε φυτῶν καὶ ἐπὶ ζῴων, ὅτι τῆς προσθέσεως τοῦ ἐνδεοῦς 10
ἡ ἀφαίρεσις τοῦ περιττοῦ πολὺ ῥᾴων καὶ εὐπετεστέρα ἐστίν. χρὴ δ' ἐφ' ἑκάτερα τὸν λογισμὸν τὸν ἀνθρώπινον τῇ φύσει βοηθεῖν, ὥστ' ἀναπιμπλάναι τὰς ἐνδείας ἐφ' ὅσον οἷόν τε ἀναπληροῦν, ἐλαττοῦν δὲ καὶ ἀφαιρεῖν τὰς περιττότητας. ὅθεν καὶ καρτέον μόνης 15
ἕνεκα τῆς ἀφαιρέσεως τοῦ περιττοῦ καὶ οὐχὶ κόσμου χάριν, ὅπερ οἴονται δεῖν ἔνιοι τὰ μὲν γένεια λεαινό-

---

paed. III 3, 19 p. 263 P. *τοῦτο οὖν τοῦ ἀνδρὸς τὸ σύνθημα, τὸ γένειον, δι' οὗ καταφαίνεται ὁ ἀνήρ. . . . σύμβολον τῆς κρείττονος φύσεως* et ibid. *τὸ οὖν τῆς ἀνδρώδους φύσεως σύμβολον, τὸ λάσιον κτέ.* 1 praeter Clementem l. c. 18 p. 263 P. confer Arr. Epict. diss. I 16, 13 Ps.-Luc. Cyn. 14 1 ss. cf. Clem. Alex. paed. III 61 p. 290 P. 5 *the fragm. of Zeno* 192 p. 217 Pearson 15 ss. Arr. Epict. diss. IV 1. Clem. Alex. paed. III 61 p. 290 P. *οὐχ ὡραϊσμοῦ χάριν ἡ κουρὰ παραληπτέα*

---

1 *ἀφαιρετέον*, *αι* e corr. M[d] ‖ 2 sq. *οὐδὲ γὰρ — οὐδέν* om. L ‖ 3 *μὲν* pro *μὴ* L | *νοσῇ* L M[d] A, sed *σῇ* in ras. M[d], *νοσεῖ* Br | *εἵνεκα* L M[d] A Br, sed *εἵ* in ras. M[1] ut videtur; *ἕνεκα* Meineke ‖ 5 *τούτου* pro *τὸ τοῦ* A ‖ 7 *μηδε* in v. *μηδεμίαν* superscr. L ‖ 8 *μὲν* suppl. A[1] ‖ 10 *προθέσεως* L ‖ 11 *πολὺ* om. Br | *ῥᾷον* A | *εὐπετεστέρα ἐστίν* (*ἐστί* Br) M[d] A Br: *εὐπεστέ* (sic, sed lacuna ante *χρὴ*) L ‖ 12 *δὲ* libri | *ἑκα* (superscr. *τε*) L ‖ 14 *ἐφ' ὅσον — ἐλαττοῦν δὲ* om. L | *ἐλαττοῦν* Br: *ἐλάττους* M[d] A ‖ 15 *μόνης*, sed *ης* compend. utque cum *ου* confundi possit A ‖ 17 *γένη ἀλεαινόμενοι* A | *λεαινόμενοι*] utrumque *ε* in ras. M

μενοι καὶ μιμούμενοι τοὺς ἀγενείους ἢ νὴ Δία τοὺς
ἄρτι γενειάσκοντας, τὴν δὲ κεφαλὴν οὐχ ὁμοίως κειρό-
μενοι διαφόρως δὲ τὰ πρόσω τῶν ὀπίσω. καὶ γάρ
τοι δοκῶν εἶναι κόσμος οὗτος πολλὴν ἀκοσμίαν ἔχει
5 καὶ διαφέρει οὐδὲν τοῦ καλλωπισμοῦ τοῦ τῶν γυναι-
κῶν. ἐκεῖναί τε γὰρ τὰ μέν τινα μέρη πλέκουσι τῶν
τριχῶν τὰ δὲ καθιᾶσι τὰ δὲ ἕτερόν τινα σκευάζουσι
τρόπον, ἵνα φαίνωνται καλλίονες, οἵ τε κειρόμενοι
οὕτως ἄνδρες κατάδηλοί. εἰσι δι' ἐπιθυμίαν τοῦ φαί-
10 νεσθαι καλοὶ οἷς βούλονται ἀρέσκειν τὰς μὲν τέλεον
ἀφαιροῦντες τῶν τριχῶν, τὰς δὲ πλάττοντες οὕτως ὡς
ἂν εὐοπτότατα ᾖ γυναιξί τε καὶ παισὶν ὑφ' ὧν ἐπαι-
νεῖσθαι δέονται. ἤδη δέ τινες καὶ αὐτῷ τῷ βαρύνε-
σθαι τὰς τρίχας κείρονται, καὶ λεαίνουσι τὰ γένεια,
15 σαφῶς οὗτοί γε κατεαγότες ὑπὸ τῆς τρυφῆς καὶ ἐκνε-
νευρισμένοι παντάπασιν, οἵ γε ἀνέχονται ἀνδρόγυνοι
καὶ γυναικώδεις ὁρᾶσθαι ὄντες, ὅπερ ἔδει φεύγειν ἐξ
ἅπαντος, εἰ δὴ τῷ ὄντι ἄνδρες ἦσαν. τί γὰρ δὴ καὶ
εἰσὶν αἱ τρίχες ἀνθρώποις βάρος; εἰ μὴ νὴ Δία καὶ
20 τοῖς ὀρνέοις τὰ πτερὰ φαίη τις ἂν εἶναι βάρος.

---

5 cf. Cicero de off. I 36, 130 *a forma removeatur omnis viro non dignus ornatus* **14** sqq. cf. Clemens Alex. l. c. 16 p 261 P.

---

5 τοῦ καλλωπισμοῦ τοῦ τῶν γυναικῶν LM^dBr: τοῦ τῶν γυναικῶν καλλωπισμοῦ ex A frustra Meineke ‖ **9** ἄνδρες κατάδηλοι L, M^d (sed litteris ατά nunc paene elutis), Br: κατάδηλοι A; ἄνδρες δῆλοι (cf. M^d) Gesn.^{2} p. 84 ‖ **12** ὡς ἂν εὐοπτότατα ᾖ Beving *rem. cr.* p. 17: ὡς ἂν εὔοπτά τε η (τε ἐν M^dA) LM^dA ὡς ἂν εὔοπτοι ὦσι sed πτοι ὦσι ex corr. Br^1; ὡς ἂν εὔοπτοι ὦσιν ἐν dubitanter Gaisford Meineke. Bevingii rationem secutus σχήματα intellegit aut πλάσματα Buecheler ‖ **13** αὐτῷ τῷ LM^dBr: αὐτὸ τὸ A, unde ⟨δι'⟩ αὐτὸ τὸ ci. Meineke ‖ **20** ἂν seclusit Meineke, cf. supra p. 63, 2

C. MVSONII RVFI

FRAGMENTA MINORA

XXII.

Μουσωνίου.

Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην [βιῶσαι].

XXIII.

Μουσωνίου.

Τί προβαλλόμεθα τοὺς τυράννους μακρῷ χείρονες αὐτῶν καθεστῶτες; τὰς γὰρ ὁμοίας αὐτοῖς ἔχομεν ὁρμὰς ἐν ταῖς οὐχ ὁμοίαις τύχαις. 5

XXIV.

Μουσωνίου.

Κἂν ἡδονῇ κανονιστέον ᾗ τὰ ἀρεστά, οὐδὲν τῆς

---

1 Similes huius sententias congessit Gatakerus ad Marci Antonini II 11 VII 29. 56. 69. cf. Sen. ep. 93, 6 *nullum* (sc. *diem*) *non tamquam ultimum aspexi* 4 cf. Seneca de ira II 31, 3 epist. 47, 20 8 Musonius 'Epicureis criteriis, voluptate et

---

1 Stobaeus III 1, 48 p. 19, 1 H. ecl. cum lemmate hab. MA sed lemmate in A abscisso, addito lemmate etiam Tr. p. 7. iterat gnomam M (olim etiam A) III 1, 77 p. 32, 10 H. || 3 *βιῶσαι* seclusit Nauck || 4 Stobaeus III 2, 31 p. 185, 11 H. ecl. cum lemmate habent MA || 8 Stobaeus III 5, 21 p. 263, 6 H. ecl. cum lemmate hab. MALBr || 9 ad 'Ε ἂν aberravit L rubr. | ᾗ LBr ἤ vel ᾗ rell.

σωφροσύνης ἥδιον· κἂν πόνῳ κανονιστέον ἢ τὰ φευκτά, οὐδὲν τῆς ἀκρασίας ἐπιπονώτερον.

XXV.

Μουσωνίου.

Μουσώνιος ἔλεγεν ὑπερβολὴν ἀναισχυντίας εἶναι
5 τὸ πρὸς μὲν τὰς τῶν πόνων ὑπομονὰς μεμνῆσθαι τῆς τοῦ σώματος ἀσθενείας, πρὸς δὲ τὰς τῶν ἡδονῶν ἐκλανθάνεσθαι.

XXVI.

Μουσωνίου.

Ἀρχὴ τοῦ μὴ κατοκνεῖν τὰ ἀσχήμονα ⟨πράττειν⟩
10 τὸ μὴ κατοκνεῖν τὰ ἀσχήμονα λέγειν.

XXVII.

Μουσωνίου.

Καὶ ἂν τοῦ συμφέροντος μάλιστα προαιρῇ ἔχεσθαι,

---

dolore, ad temperantiam commendandam utitur': Vsener Epicur. p. LVII 8 cf. Clem. Al. paed. II p. 199 P. τὸ γὰρ ἐν τοῖς ὀνόμασιν ἀτακτεῖν μελέτην ἐμποιεῖ τοῦ καὶ εἰς τὰ ἔργα ἀκοσμεῖν

---

1 ἴδιον pro ἥδιον L | ἢ LBr: ἦ M^d ἡ ATr. ‖ 2 οὐδὲν (quod coniectura repperit Meineke) LBr: οὐδὲν ἐστι M^d ATr. | ἐπιπονώτερον Meineke: ἐπωδυνώτερον M^d ALTr. ἐπωδυνότερον Br ‖ 3 Stobaeus III 6, 21 p. 285, 11 H. ecl. cum lemmate hab. MA, sine lemmate L ‖ 5 ὑπομονὰς μεμνῆσθαι M^d A ὑπομεμνῆσθαι L ‖ 6 ἐκλανθάνεσθαι libri sed ἐκ bis scr. L ‖ 8 Stobaeus III 6, 22 p. 285, 16 H. ecl. habent lemmate addito MA, detracto L ‖ 9 τοῦ LA τὸ sed una littera post ο erasa M^d ‖ 10 τὰ ἀσχήμονα τὸ μὴ κατοκνεῖν om. M^d | πράττειν addendum esse vidit Gaisford ‖ 11 Stobaeus III 7, 22 p. 314 H. ecl. cum lemmate hab. MA

μὴ δυσχέραινε ταῖς περιστάσεσιν, ἐνθυμούμενος πόσα ἤδη σοι τῶν ἐν βίῳ οὐχ ὡς σὺ ἐβούλου συνέπεσεν, ἀλλ' ὡς συνέφερεν.

XXVIII.

Μουσωνίου.

Ἅρπαζε τὸ καλῶς ἀποθνήσκειν, ὅτε ἔξεστι, μὴ μετὰ 5 *μικρὸν τὸ μὲν ἀποθνήσκειν σοι παρῇ, τὸ δὲ καλῶς μηκέτι ἐξῇ.*

XXIX.

Τοῦ αὐτοῦ.

Οὐκ ἔστιν ἐπὶ πολλῶν συμφέροντι ζῶντα καθηκόντως ἀποθανεῖν, μὴ ἐπὶ πλειόνων ἀποθνήσκοντα 10 *συμφέροντι.*

XXX.

Μουσωνίου.

Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰδεῖσθαι.

---

4 cf. Seneca epist. 58, 34 *et fortasse paulo ante quam debet, faciendum est* (sc. *educere animum*), *ne cum fieri debebit, facere non possis* ib. 70, 6 **12** cf. Galenus *περὶ ψυχῆς παθῶν* p. 20, 10

---

4 Stobaeus III 7, 23 p. 315, 3 H. ecl. cum lemmate habent MA, sine lemm. Br; *μουσωνίου* M *τοῦ αὐτοῦ* A. de Maximo vide Sternbach gnomol. Vat. 118 ‖ **8** Stobaeus III 7, 24 p. 315, 7 H. ecl. cum lemmate hab. MA ‖ **9** *συμφέρον τῷ ζῶντα* M^d *συμφέρον τῷ ζῶντι* A: tacite corr. Gesn.[2] p. 88 | *καθηκόντως* M^d *προσεικόντως* A ‖ **10** *ἐπὶ* Buecheler et Wachsmuth: *ὑπὲρ* M^dA ‖ **12** Stobaeus III 31, 6 p. 670, 6 H. eclogam cum lemmate hab. SMLBr. iteratur ecloga lemmaque corp. Par. 675 Elt., sine lemmate etiam in florilegio Schenkelii (*Wien. stud.* XI p. 10) 3 ‖ **13** *ἄρξῃς* M ‖ **14** *σεαυτὸν* flor. Schenk.

XXXI.

Μουσωνίου.

Οὐ πολὺν διάγουσι χρόνον οἱ πρὸς τοὺς ὑπηκόους ὑπὲρ ὧν ἂν πράττωσι μὴ τὸ 'καθήκει μοι' λέγειν μεμελετηκότες, ἀλλὰ τὸ 'ἔξεστί μοι'.

XXXII.

5 ### *Τοῦ αὐτοῦ.*

Μὴ θέλε ἐπιτάσσειν τὰ καθήκοντα τοῖς συγγιγνώσκουσί σοι τὰ μὴ καθήκοντα πράττοντι.

XXXIII.

Τοῦ αὐτοῦ.

Πειρατέον καταπληκτικὸν μᾶλλον τοῖς ὑπηκόοις ἢ 10 *φοβερὸν θεωρεῖσθαι· τῷ μὲν γὰρ σεμνότης, τῷ δὲ ἀπήνεια παρακολουθεῖ.*

XXXIV.

Μουσωνίου.

Τῶν μὲν Κροίσου καὶ Κινύρου θησαυρῶν πενίαν

Marq. *σὺ δε σαυτὸν αἰδοῦ μάλιστα πειθόμενος τῷ φάντι 'πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν'* **8** cf. Clem. Alex. paed. II 48 p. 197 P. **12** Clemens Al. paed. III 34 p. 274 P. *ἐὰν δὲ ἄρα*

---

1 Stobaeus flor. 48, 14 Mein. ecl. cum lemmate hab. SMA ‖ **3** *πράττωσιν* M ‖ **5** Stobaeus flor. 48, 15 M. ecl. habent SMA, lemma *τοῦ αὐτοῦ* praefigunt MA, uno lemmate tres ecl. 14. 15. 16 comprendit S ‖ **6** *-κουσιν* M ‖ **8** Stobaeus flor. 48, 16 M. ecl. hab. SMA, lemma addunt MA, uno lemmate ecl. 14. 15. 16 comprendit S ‖ **9** puto *καταλλακτικὸν placabilem* ‖ **11** *ἀπέχθεια* prop. Meineke ‖ **12** Stobaeus flor. 94, 23 Mein. ecl. cum lemmate hab. SMA ‖ **13** *Κινύρου* Valckenaer: *κύρου* libri

ἐσχάτην καταψηφιούμεθα, ἕνα δὲ καὶ μόνον πιστεύσομεν εἶναι πλούσιον [ἢ σοφὸν] τὸν δυνάμενον κτήσασθαι τὸ ἀνενδεὲς πανταχοῦ.

XXXV.

Μουσωνίου.

Τοῦ ἀποθανεῖν ὁμοίως ἐπικεκλωσμένου πᾶσιν, οὐ 5
τὸ βραδέως ἀλλὰ τὸ ἐμφανῶς ἀποθανεῖν μακάριον.

XXXVI.

Καὶ μὴν ὧν γε μεμνήμεθα Μουσωνίου καλῶν ἕν ἐστιν, ὦ Σύλλα, τὸ δεῖν ἀεὶ θεραπευομένους βιοῦν

πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ἢ δὲ ἄδικος καὶ ὑπερήφανος, . . . ἄθλιός τέ ἐστι καὶ ἀνιαρῶς ζῇ. cf. quae composuit Wendland *quaest. Muson.* p. 64 *Philos schr. über die Vorsehung* p. 21 adn. **1** *καταψηφιούμεθα* verbo nescias an aliquid coloris haereat cynici, nam Cynicos scriptores interdum psephismatis invento usos esse ex Luciani imitationibus probabile fit, cf. Guil. Schmid Philol. v. L p. 304 | Cicero parad. VI 51 *non esse cupidum pecunia est, non esse emacem vectigal est; contentum vero suis rebus esse maximae sunt certissimaeq. divitiae.* Attalus Senecae ep. 110, 18 *ad veras potius te converte divitias. disce parvo esse contentus* e. q. s. Clem. Alex. paed. II 39 p. 191 P. *πλοῦτος δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία* **4** Ps.-Isocrates ad Demon. 43 *τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε, τὸ δὲ καλῶς ἀποθανεῖν ἴδιον τοῖς σπουδαίοις ἀπένειμεν.* Tacitus ann. XIV 59 **8** cf. Muson. p. 61, 14 ss. 63, 2

---

2 *ἢ σοφὸν* seclusi. qui adscripsit intempestive memor erat paradoxi Stoicorum istius *ὅτι μόνος ὁ σοφὸς πλούσιος* (Cic. parad. 6). *ἢ* libri, *καὶ* scr. Gesn.[1] f. 451ᵛ ‖ **3** fortasse *ἁπανταχοῦ*, cf. supra p. 36, 21. 41, 9. 1, 17. 48, 12. 99, 1 ‖ **4** Stobaeus flor. 118, 26 M. ecl. cum lemmate hab. SA, *μουσ͠* S ‖ **5** *ἐπικεκλωσμένου* Tr. *ἐπικεκλωμένου* S *ἐπικεκλημένου* A ‖ **6** *ἐμφανῶς*] '*εὐθανάτως* vel tale quid expectabam' Meineke. immo interpretandum videtur *haud ignobiliter* ‖ **7** Plutarchus de cohib. ira p. 453 D, qui dicentem haec facit C. Minicium Fundanum, Musonii admiratorem, de quo monui in praef.

τοὺς σῴζεσθαι μέλλοντας. οὐ γὰρ ὡς ἐλλέβορον, οἶμαι,
δεῖ θεραπεύσαντα συνεκφέρειν τῷ νοσήματι τὸν λόγον,
ἀλλ' ⟨ἐᾶν⟩ ἐμμένοντα τῇ ψυχῇ συνέχειν τὰς κρίσεις καὶ
φυλάσσειν. φαρμάκοις γὰρ οὐκ ἔοικεν ἀλλὰ σιτίοις
5 ὑγιεινοῖς ἡ δύναμις αὐτοῦ, μεθ' ὑγιείας ἕξιν ἐμποι-
οῦσα χρηστὴν οἷς ἂν γένηται συνήθης· αἱ δὲ πρὸς
ἀκμάζοντα τὰ πάθη καὶ οἰδοῦντα παραινέσεις καὶ νου-
θεσίαι σχολῇ μὲν ἀνύτουσι καὶ μόλις, οὐδὲν δὲ τῶν
ὀσφραντῶν διαφέρουσιν, ἃ τοὺς ἐπιληπτικοὺς ἐγείροντα
10 καταπίπτοντας οὐκ ἀπαλλάττει τοῦ νοσήματος.

XXXVII.

Ὁ Ῥουτίλιος ἐκεῖνος ἐν Ῥώμῃ τῷ Μουσωνίῳ προσ-
ελθὼν 'Μουσώνιε' εἶπεν 'ὁ Ζεὺς ὁ Σωτήρ, ὃν σὺ
μιμῇ καὶ ζηλοῖς, οὐ δανείζεται'. καὶ ὁ Μουσώνιος
μειδιάσας εἶπεν 'οὐδὲ δανείζει'. ὁ γὰρ Ῥουτίλιος δα-
15 νείζων αὐτὸς ὠνείδιζεν ἐκείνῳ δανειζομένῳ.

XXXVIII.

Ῥούφου ἐκ τῶν Ἐπικτήτου Περὶ φιλίας.

Τῶν ὄντων τὰ μὲν ἐφ' ἡμῖν ἔθετο ὁ θεός, τὰ

---

16 de lemmate huius eclogae et sequentium vide quae disseruit R. Asmus Quaest. Epict. Friburgi Br. ed. a. 1888 p. 41 ss.
17 *τὰ μὲν ἐφ' ἡμῖν . . . τὰ δ' οὐκ ἐφ' ἡμῖν*] cf. Clem. Alex. paed. III 36 p. 275 P. sim. passim Arrianus in diss. Epict. velut I 1, 7 *τὸ κράτιστον ἁπάντων καὶ κυριεῦον οἱ θεοὶ μόνον ἐφ' ἡμῖν ἐποίησαν, τὴν χρῆσιν τὴν ὀρθὴν ταῖς φαντασίαις, τὰ δ' ἄλλα οὐκ ἐφ' ἡμῖν*

---

3 *ἐᾶν* addidit Elter ‖ **11** Plutarchus de vitando aere al. p. 830 B. ‖ **16** Stobaeus II 8, 30 p. 159, 23 W. ecl. hab. FP, lemma habet F in marg. ‖ **17** *ὄντων τὰ* F *ὄντα* P | *τὰ δ' οὐκ* (om. *ἐφ' ἡμῖν*) Canter, inde Meineke *τὰ δ' οὔ*

δ' οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μὲν τὸ κάλλιστον καὶ σπουδαιότατον, ᾧ δὴ καὶ αὐτὸς εὐδαίμων ἐστί, τὴν χρῆσιν τῶν φαντασιῶν. τοῦτο γὰρ ὀρθῶς γιγνόμενον ἐλευθερία ἐστίν, εὔροια, εὐθυμία, εὐστάθεια, τοῦτο δὲ καὶ δίκη ἐστὶ καὶ νόμος καὶ σωφροσύνη καὶ ξύμπασα ἀρετή. 5 τὰ δ' ἄλλα πάντα οὐκ ἐφ' ἡμῖν ἐποιήσατο. οὐκοῦν καὶ ἡμᾶς συμψήφους χρὴ τῷ θεῷ γενέσθαι καὶ ταύτῃ διελόντας τὰ πράγματα τῶν μὲν ἐφ' ἡμῖν πάντα τρόπον ἀντιποιεῖσθαι, τὰ δὲ μὴ ἐφ' ἡμῖν ἐπιτρέψαι τῷ κόσμῳ καί, εἴτε τῶν παίδων δέοιτο εἴτε τῆς πατρίδος 10 εἴτε τοῦ σώματος εἴτε ὁτουοῦν, ἀσμένους παραχωρεῖν.

XXXIX.

Ῥούφου ἐκ τοῦ Ἐπικτήτου Περὶ φιλίας.

Τὸ δὲ Λυκούργου τοῦ Λακεδαιμονίου τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν τῶν ὀφθαλμῶν τὸν ἕτερον καὶ παραλαβὼν τὸν νεανίσκον 15 παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο ὅπως αὐτὸς βούλεται, τούτου μὲν ἀπέσχετο, παιδεύσας δὲ αὐτὸν καὶ

---

10 *μὴ δυσχέραινε ταῖς περιστάσεσιν* supra Musonius fr. XXVII, *ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα* suadet fr. XLII 12 cf. Plutarchus Lycurg. c. 11. ceterum haec de Lycurgo historiola plane convenit eis quae supra de iniuriis non persequendis Musonium disserentem facit Lucius p. 52 ss.

---

4 *εὔροια* (ut coniecit Schweighaeuser) sed corr. in *εὔροι* F *εὔροι* P ‖ 5 *σύμπασα* P ‖ 7 *συψήφους* P ‖ 9 *ἐπιστρέψαι* P ‖ 11 *ὁτιοῦν* FP: corr. Meineke ‖ 12 Stobaeus III 19, 13 p. 532, 14 H. ecl. hab. cum lemm. S M A, lemmate omisso Br. *ἐκ* [τ] (*ἐκ τῶν* interpretatur Meineke) S ‖ 14 *τῶν ὀφθαλμῶν τὸν ἕτερον* S: *τὸν ἕτερον τῶν ὀφθαλμῶν* M^d A Br ‖ 16 *ὅπως* <*ἂν*> *αὐτὸς βούληται* C. Schenkl | *βούληται* libri: corr. Meineke. an *βούλοιτο*?

ἀποφήνας ἄνδρα ἀγαθὸν παρήγαγεν εἰς τὸ θέατρον. θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων 'τοῦτον μέν τοι λαβών' ἔφη 'παρ' ὑμῶν ὑβριστὴν καὶ βίαιον ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν'.

XL.

5 ## Ῥούφου ἐκ τοῦ Ἐπικτήτου Περὶ φιλίας.

Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον, συνδῆσαι καὶ συναρμόσαι τὴν ὁρμὴν τῇ τοῦ προσήκοντος καὶ ὠφελίμου φαντασίᾳ.

XLI.

Τοῦ αὐτοῦ.

10 Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτους τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν καὶ ἀνοήτων ἀνθρώπων. φαμὲν γὰρ τὸν εὐκαταφρόνητον νοεῖσθαι μὲν καὶ κατὰ τὸ ἀδύνατον εἶναι βλάψαι· ἀλλὰ πολὺ μᾶλλον νοεῖται 15 κατὰ τὸ ἀδύνατον εἶναι ὠφελεῖν.

---

1 ἤγαγεν A ‖ 3 ἡμῶν A ‖ 5 Stobaeus III 20, 60 H. ecl. cum lemm. hab. SMA. ἐκ[τ] S ἐκ τῶν cum Trincavelliana editione Meineke ‖ 7 s. τῆς — φαντασίας libri: corr. Buecheler ‖ 9 Stobaeus III 20, 61 p. 552, 8 H. ecl. cum lemm. hab. SMA ‖ 12 ἀγενων sine acc. M[d] ‖ 13 τὸ εὐκ. mavult Wachsmuth ‖ 14 ἀδύνατον (sic ut correxit Schweighaeuser) hic et 15 A: δυνατὸν utroque loco SM[d]

XLII.

Ῥούφου ἐκ τῶν Ἐπικτήτου Περὶ φιλίας.

Ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις καὶ ἦν καὶ ἔστι καὶ ἔσται καὶ οὐχ οἷόν τε ἄλλως γίγνεσθαι τὰ γιγνόμενα ἢ ὡς νῦν ἔχει· καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ τῆς μεταβολῆς οὐ μόνον οἱ ἄνθρωποι μετειλήφασι καὶ 5 τἄλλα ζῷα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα, καὶ νὴ Δί' αὐτὰ τὰ τέτταρα στοιχεῖα ἄνω καὶ κάτω τρέπεται καὶ μεταβάλλει καὶ γῆ τε ὕδωρ γίνεται καὶ ὕδωρ ἀήρ, οὗτος δὲ πάλιν εἰς αἰθέρα μεταβάλλει, καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω. ἐὰν πρὸς ταῦτά 10 τις ἐπιχειρῇ ῥέπειν τὸν νοῦν καὶ πείθειν ἑαυτὸν ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα, πάνυ μετρίως καὶ μουσικῶς διαβιώσεται τὸν βίον.

XLIII.

Θρασέας εἰώθει λέγειν 'σήμερον ἀναιρεθῆναι θέλω μᾶλλον ἢ αὔριον φυγαδευθῆναι'. τί οὖν αὐτῷ Ῥοῦ- 15 φος εἶπεν; 'εἰ μὲν ὡς βαρύτερον ἐκλέγῃ, τίς ἡ μωρία τῆς ἐκλογῆς; εἰ δ' ὡς κουφότερον, τίς σοι δέδωκεν; οὐ θέλεις μελετᾶν ἀρκεῖσθαι τῷ δεδομένῳ';

---

1 'Musonius Rufus aperte heraclitissans' Bernays *ges. abh.* I p. 2 adn. 1 7 cf. Cicero de nat. deorum II 33, 84 18 cf. Teles p. 28, 12 s. et quae ibi adnotavimas, Musonius fr. XXVII

---

1 Stobaeus flor. 108, 60 M. ecl. cum lemm. hab. SMA. 'admodum carptim raptimque' haec 'excerpta esse, vel iterata illa ὅτι et καὶ indicant' recte Bernays l. c. ‖ 2 καὶ ante ἔστι om. A ‖ 9 αἰθέρα (ut prop. Nieuwland ap. Peerlk. p. 81) iam A[2]: ἕτερα SMA ‖ 10 ἐὰν ⟨γοῦν⟩ coni. Gesnerus, ἐὰν ⟨δὲ⟩ ego, ἐὰν ⟨οὖν⟩ C. Schenkl ‖ 11 τρέπειν Gesn.[1] f. 491[v] mrg. ‖ 14 Arriani diss. Epictet. I 1, 26 s. p. 8, 11—15 Schenkl

XLIV.

Τί ἔτι ἀργοὶ καὶ ῥάθυμοι καὶ νωθροί ἐσμεν καὶ προφάσεις ζητοῦμεν, καθ' ἃς οὐ πονήσομεν οὐδ' ἀγρυπνήσομεν ἐξεργαζόμενοι τὸν αὑτῶν λόγον; — Ἂν οὖν ἐν τούτοις πλανηθῶ, μή τι τὸν πατέρα ἀπέκτεινα; —
5 *Ἀνδράποδον, ποῦ γὰρ ἐνθάδε πατὴρ ἦν, ἵν' αὐτὸν ἀποκτείνῃς; τί οὖν ἐποίησας; ὃ μόνον ἦν κατὰ τὸν τόπον ἁμάρτημα, τοῦτο ἡμάρτηκας. ἐπεί τοι τοῦτ' αὐτὸ καὶ ἐγὼ Ῥούφῳ εἶπον ἐπιτιμῶντί μοι ὅτι τὸ παραλειπόμενον ἓν ἐν συλλογισμῷ τινι οὐχ εὕρισκον. 'οὐχ οἷον μέν' φημι*
10 *'⟨εἰ⟩ τὸ Καπιτώλιον κατέκαυσα', ὁ δ' 'ἀνδράποδον', ἔφη, 'ἐνθάδε τὸ παραλειπόμενον Καπιτώλιόν ἐστιν'. ἢ ταῦτα μόνα ἁμαρτήματά ἐστι τὸ Καπιτώλιον ἐμπρῆσαι καὶ τὸν πατέρα ἀποκτεῖναι, τὸ δ' εἰκῇ καὶ μάτην καὶ ὡς ἔτυχεν χρῆσθαι ταῖς φαντασίαις ταῖς αὑτοῦ*
15 *καὶ μὴ παρακολουθεῖν λόγῳ μηδ' ἀποδείξει μηδὲ σοφίσματι μηδ' ἁπλῶς βλέπειν τὸ καθ' αὑτὸν καὶ οὐ καθ' αὑτὸν ἐν ἐρωτήσει καὶ ἀποκρίσει, τούτων δ' οὐδέν ἐστιν ἁμάρτημα;*

XLV.

οὕτως καὶ Ῥοῦφος πειράζων με εἰώθει λέγειν 'συμβή-

---

1 cf. Diog. Laert. VII 120 *ἀρέσκει τε αὐτοῖς* (sc. *τοῖς Στωϊκοῖς*) *ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα*, sed vide nunc quae composuit ab Arnim Stoicorum vet. fr. II p. 140 ss.

---

1 Arrianus Epict. diss. I 7, 30 ss. Sch. ‖ **10** *εἰ* addidit Blass qui verba *οὐχ οἷον μὲν εἰ* interpretatur '*es ist jedenfalls* (*μὲν*) *nicht so schlimm als wenn*' *lit. Centralbl.* 1899 p. 170. *οὐχ οἱονεὶ* praeiverat Elter | *κατέκαυσα* H. Schenkl: *κατεσκευάσα* S(aibantianus) *κατέσκαψα* codicis S apographa sive omnia sive singula); *μὴ γάρ, ἔφην, τὸ Κ. ἐνέπρησα*; unum apogr. ‖ **13** *τ δ'* (supra *τ* una littera erasa) S *τὸ δ'* ex corr. S ‖ **19** Arr. diss. Epict. I 9, 29 p. 36, 15—20 Schenkl

σεταί σοι τοῦτο καὶ τοῦτο ὑπὸ τοῦ δεσπότου'. κἀμοῦ πρὸς αὐτὸν ἀποκριναμένου ὅτι ἀνθρώπινα, 'τί οὖν' ἔφη 'ἐκεῖνον παρακαλῶ παρὰ σοῦ αὐτὰ λαβεῖν δυνάμενος;' τῷ γὰρ ὄντι, ὃ ἐξ αὐτοῦ τις ἔχει, περισσὸς καὶ μάταιος παρ' ἄλλου λαμβάνων. 5

XLVI.

Τῶν νέων τοὺς μαλακοὺς οὐκ ἔστι προτρέψαι ῥᾴδιον· οὐδὲ γὰρ τυρὸν ἀγκίστρῳ λαβεῖν· οἱ δ' εὐφυεῖς, κἂν ἀποτρέπῃς, ἔτι μᾶλλον ἔχονται τοῦ λόγου. διὸ καὶ ὁ Ῥοῦφος τὰ πολλὰ ἀπέτρεπεν τούτῳ δοκιμαστηρίῳ χρώμενος τῶν εὐφυῶν καὶ ἀφυῶν. ἔλεγε γὰρ ὅτι 'ὡς 10 *ὁ λίθος, κἂν ἀναβάλῃς, ἐνεχθήσεται κάτω ἐπὶ τὴν αὑτοῦ κατασκευήν, οὕτω καὶ ὁ εὐφυής, ὅσῳ μᾶλλον ἀποκρούεταί τις αὐτόν, τοσούτῳ μᾶλλον νεύει ἐφ' ὃ πέφυκεν'.*

XLVII.

Ῥούφῳ τις ἔλεγεν Γάλβα σφαγέντος ὅτι 'νῦν προ- 15 *νοίᾳ ὁ κόσμος διοικεῖται;' ὁ δὲ 'μὴ παρέργως ποτ''*

---

6 cf. Diog. Laert. IV 47; Musonius supra p. 61, 7 *ἔστι δὲ ἄμεινον μηδὲ προσιέναι τῷ φιλοσόφῳ τοὺς πλείονας τῶν φιλοσοφεῖν λεγόντων νέων, ὅσοι σαθροί τε καὶ μαλακοί, δι' οὓς*

---

3 *ἔπι* (pro *ἔφη*) primo S(aibantianus) | *παρακαλῇ* Meibomius. cf. Zeller *die phil. d. Gr.*[3] III 1 p. 735 adn. 3 | *αὐτὰ* S m. pr. vel S_a: *αὐτοῦ* S ‖ **6** Arr. diss. Epict. III 6, 9 Sch. ‖ **11** *γῆν κατὰ* suppl. post *ἐπὶ* Schweighaeuser ‖ **12** *αὐτοῦ* S(aibant.): corr. ed. Lond. ‖ **15** Arr. diss. Epict. III 15, 14 Sch. ubi in codice Saibantiano scholium adscriptum legitur hoc (p. LXXVIII ed. Schenkl): *ὡς ἔοικεν οὗτος οὐκ ἦν φιλόσοφος, ὃν ἐπιρραπίζει ὁ φιλόσοφος Ῥοῦφος λέγων ὅτι παρέργως φιλοσοφεῖ· ἔδει γάρ σέ φησι προηγουμένως κατασκευάζειν, ὅτι ἔστι πρόνοια καὶ μὴ ἀπὸ Γάλβα· ἐγὼ γὰρ ταὐτό φησιν οὐκ ἐποίησα:—* ‖ **16** *μὴ γὰρ ἐγώ σοί ποτ'* Coraes. si quid mutandum, scribatur *κατεσκεύασας* mox cum Eltero

ἔφη 'ἀπὸ Γάλβα κατεσκεύασα, ὅτι προνοίᾳ ὁ κόσμος διοικεῖται;'

XLVIII.

Εἴωθε λέγειν ὁ Ῥοῦφος 'εἰ εὐσχολεῖτε ἐπαινέσαι με, ἐγῷδ' οὐδὲν λέγων'. τοιγαροῦν οὕτως ἔλεγεν, 5 ὥσθ' ἕκαστον ἡμῶν καθήμενον οἴεσθαι, ὅτι τίς ποτε αὐτὸν διαβέβληκεν· οὕτως ἥπτετο τῶν γινομένων, οὕτω πρὸ ὀφθαλμῶν ἐτίθει τὰ ἑκάστου κακά.

XLIX.

*** Musonium philosophum solitum accepimus. 'Cum philosophus' inquit 'hortatur, monet, suadet, 10 obiurgat aliudve quid disciplinarum disserit, tum, qui audiunt, si de summo et soluto pectore obvias vulgatasque laudes effutiunt, si clamitant etiam, si gestiunt, si vocum eius festivitatibus, si modulis verborum, si quibusdam quasi frequentamentis orationis moventur,

---

προσιόντας ἀναπίμπλαται κηλίδων φιλοσοφία Sen. epist. 112, 1 et quae ibi adnotavi 3 comparetur fragmentum proximum, inprimis verba 'tum scias et qui dicit et qui audiunt frustra esse'. praeterea Sternbachii gnom. Vat. 9 et 135 comparat H. Schenkl **8** ss. Seneca ep. 52, 9 'quid enim turpius philosophia captante clamores? numquid aeger laudat medicum secantem? tacete, favete et praebete vos curationi.'

---

3 Arr. diss. Epict. III 23, 29 Sch. ‖ **4** *ἐγῷδ'* (vel *ἐγὼ οἶδ'*) — *λέγων* scripsi: *ἐγὼ δ'* — *λέγω* S ‖ **6** fort. *τῶν γενομένων* ‖ **8** Gellius N. A. V 1 Hos., ubi summarium praemittitur hoc: 'Quod Musonius philosophus reprehendit inprobavitque laudari philosophum disserentem a vociferantibus et in laudando gestientibus' | lacunam statuit Hertz, cf. infra fr. LI initium ‖ **12** *si gestiunt* om. Carrio, aut hic aut p. 131, 1 *exsiliunt* Ioa. Fr. Gronovius, *aestuant* Iacobus Gronovius ‖ **14** *fretamentis* libri meliores: corr. libri deteriores; *irritamentis* Salmasius. *fermentis* vel *fricamentis* prop. Hosius | *orationibus* libri haud pauci

exagitantur et gestiunt, tum scias et qui dicit et qui audiunt frustra esse, neque illi philosophum loqui, sed tibicinem canere. animus' inquit 'audientis philosophum, ⟨dum⟩ quae dicuntur utilia ac salubria sunt et errorum atque vitiorum medicinas ferunt, laxamentum 5 atque otium prolixe profuseque laudandi non habet. quisquis ille est, qui audit, nisi ille est plane deperditus, inter ipsam philosophi orationem et perhorrescat necesse est et pudeat tacitus et paeniteat et gaudeat et admiretur, varios adeo vultus disparilesque sensus 10 gerat, proinde ut eum conscientiamque eius adfecerit utrarumque animi partium, aut sincerarum aut aegrarum, philosophi pertractatio.'

Praeterea dicebat magnam laudem non abesse ab admiratione, admirationem autem, quae maxima est, 15 non verba parere, sed silentium. 'Idcirco' inquit 'poetarum sapientissimus auditores illos Ulixi labores suos inlustrissime narrantis, ubi loquendi finis factus, non exultare nec strepere nec vociferari facit, sed consiluisse universos dicit quasi attonitos et obstupidos 20 delenimentis aurium ad origines usque vocis permanantibus:

ὣς φάτο· τοὶ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.

---

4 de imagine cf. supra p. 1, 9 ss. Zeller, *die phil. der Gr.*[3] III 1 p. 733 adn. 2 7 cf. supra p. 64, 17 *οἵ γε μὴ τελέως ἀπερρωγότες* 23 Od. *ν* 1

---

4 *dum* add. Hertz, *si* Carrio ⟨*quoad*⟩ vel ⟨*a quo*⟩ mavult Hosius ‖ 5 *fuerunt* libri mel., corr. deteriores

L.

'Musonius' inquit (Herodes) 'aeruscanti cuipiam id genus et philosophum sese ostentanti dari iussit mille nummum, et cum plerique dicerent nebulonem esse hominem malum et malitiosum et nulla re bona dignum,
5 tum Musonium subridentem dixisse aiunt: *ἄξιος οὖν ἐστιν ἀργυρίου.*'

LI.

Adulescentuli cum etiamtum in scholis essemus, *ἐνθυμημάτιον* hoc Graecum quod adposui, dictum esse

---

1 Gellius N. A. IX 2, 1 ss. Ad Herodem Atticum, consularem virum ingenioque amoeno et Graeca facundia celebrem, adiit nobis praesentibus palliatus quispiam et crinitus barbaque prope ad pubem usque porrecta ac petit aes sibi dari *εἰς ἄρτους*. tum Herodes interrogat, quisnam esset. atque ille vultu sonituque vocis obiurgatorio philosophum sese esse dicit et mirari quoque addit, cur quaerendum putasset quod videret. 'Video' inquit Herodes 'barbam et pallium, philosophum nondum video. quaeso autem te, cum bona venia dicas mihi, quibus nos uti posse argumentis existimas, ut esse te philosophum noscitemus?' Interim aliquot ex his, qui cum Herode erant, erraticum esse hominem dicere et nulli rei incolamque esse sordentium ganearum, nisi accipiat, quod petit, convicio turpi solitum incessere; atque ibi Herodes: 'Demus' inquit 'huic aliquid aeris, cuicuimodi est, tamquam homines, non tamquam homini', et iussit dari pretium panis triginta dierum. Tum nos adspiciens, qui eum sectabamur: 'Musonius' inquit 'aeruscanti — *ἐστιν ἀργυρίου*'. 8 unde adsumpserit hoc dictum vel Musonius vel olim Cato nescimus. non recte opinatur Hirzel (*dial.* II p. 239 adn. 3) Musonium

---

1 Gell. N. A. IX 2, 8 Hos. C. Musonium Rufum intellegendum esse praeter alios iudicavit etiam Zeller *philos. der Gr.*[3] III 1 p. 691 adn. ‖ 7 Gellius N. A. XVI 1, 1 ss. ubi summarium praemittitur hoc 'Verba Musoni philosophi Graeca digna atque utilia audiri observarique; eiusdemque utilitatis sententia a M. Catone multis ante annis Numantiae ad equites dicta'.

a Musonio philosopho audiebamus et, quoniam vere atque luculente dictum verbisque est brevibus et rotundis vinctum, perquam libenter memineramus: *Ἄν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος οἴχεται, τὸ δὲ καλὸν μένει· ἄν τι ποιήσῃς αἰσχρὸν μετὰ ἡδονῆς,* 5 *τὸ μὲν ἡδὺ οἴχεται, τὸ δὲ αἰσχρὸν μένει.*

Postea istam ipsam sententiam in Catonis oratione, quam dixit Numantiae apud equites, positam legimus. quae etsi laxioribus paulo longioribusque verbis comprehensa est praequam illud Graecum, quod diximus, 10 quoniam tamen prior tempore antiquiorque est, venerabilior videri debet. verba ex oratione haec sunt: 'Cogitate cum animis vestris: si quid vos per laborem recte feceritis, labor ille a vobis cito recedet, bene factum a vobis, dum vivitis, non abscedet; sed si qua 15 per voluptatem nequiter feceritis, voluptas cito abibit, nequiter factum illud apud vos semper manebit.'

LII.

'remittere' inquit Musonius 'animum quasi amittere est'.

Catonianam sententiam graece vertisse. immo Graecum exemplar hic ut alibi a Rufo adhibitum esse ut per se veri est similius ita ipsius dicti comprobatur concisa brevitate. cf. etiam adn. fr. XXIV 7 M. Catonis rel. or. V 1 p. 38, 10 Iord. 13 ss. Cicero de sen. 19, 69 'tantum remanet quantum virtute et recte factis consecutus sis' comparat Iordan 18 latino, non ut assolet, graeco sermone Musonium hoc concepisse e lusu verborum colligebant velut Hirzel *der dial.* II p. 242 adn. 3,

---

18 Gellius N. A. XVIII 2, 1 Hos., inde Macrobius sat. I 5, 12 Eyss.

LIII.

προτρέπων μέ τις θαρρῆσαι Μουσωνίου διῄει λόγον· ʽἐκεῖνος, ἔφη, βουλόμενός τινα ἀναστῆσαι κάμνοντα καὶ ἀπειρηκότα οὑτωσί πως εἶπεν καθαπτόμενος· τί μένεις; ποῖ βλέπεις; ἢ μέχρι ἂν αὐτὸς ὁ θεὸς παρα- 5 *στάς σοι φωνὴν ἀφιῇ; ἔκκοψον τὸ τεθνηκὸς τῆς ψυχῆς, καὶ γνώσῃ τὸν θεόν'. τοιαῦτ' ἔφη τὸν Μουσώνιον εἰπεῖν.*

---

subesse potius Graecum tale *ὅμοιον τὸ ἀνιέναι ψυχὴν τῷ ἀφιέναι* suspicatur M. Croiset *hist. de la litt. grecque* t. V p. 419 n. 3. et comparari potest Arr. Epict. diss. IV 9, 14, quem locum supra exscripsimus ad p. 98, 15. strenua et assidua exercitatio commendatur *Περὶ ἀσκήσεως* p. 22 ss.

---

1 Aelius Aristides or. LII vol. II p. 467, 6 ss. Keil. ‖ 2 *ἔφη βουλόμενος* Laurentianus pl. LX cod. 3: *βουλόμενος ἔφη* alii libri ‖ 3 *εἶπεν* Keil: *εἰπεῖν* libri ‖ 4 *μέχρισ* cod. Urbinas graec. 123

C. MVSONII RVFI

EPISTVLAE SPVRIAE

Παγκρατίδῃ.

(1) *Καὶ ἐκ τῶν ἀπαγγελλομένων ἡμῖν περὶ σοῦ καὶ ἐξ ὧν αὐτὸς ἀπέστειλας τοῖς υἱοῖς σου τεκμαιρόμενος μὴ τὰ αὐτὰ τοῖς λαώδεσιν, ἀλλ' ἅπερ οἰκεῖόν ἐστι σὲ φρονεῖν περὶ φιλοσοφίας, προεθυμήθην κατὰ μὲν τὸ παρὸν συνησθῆναί σοι* 5 *ἐπ' αὐτοῖς, εἰς δὲ τὸ ἐπιὸν συνεύξασθαι, μὴ ἐφ' ἕτερόν τι αὐτοὺς ἀποκλῖναι, τηροῦντας δὲ ἣν ἔχουσι νῦν πρόθεσιν ἄχρι τέλους φιλοσοφῆσαι, ἵν' αὐτοί τε εὖ ἀπαλλάττωσι καὶ σὲ ἀνθ' ὧν ἐκ σοῦ ἔπαθον ἀμείψασθαι δυνηθῶσι. δυοῖν γὰρ ὡς καθόλου εἰπεῖν οὐσῶν αἰτιῶν, παρ' ἃς ἄνθρωποι* 10 *εὐτάκτως καὶ ὁδῷ ζῶσιν, ἐμπειρίας τε καὶ ἐγκρατείας, πῶς ἂν δυναίμεθα ἢ πρὸς ἑαυτοὺς ἢ πρὸς ἑτέρους ποιεῖν τὰ δέοντα ὑπ' ἀγνοίας ἅμα καὶ ἀκρασίας κατεχόμενοι;* (2) *ἡ μὲν οὖν τούτων ἀπόλυσις ἀναγκαίως πάνυ ἔοικε παρ' ἡμῶν ἀπαιτεῖσθαι· πρὸς γὰρ τὸ τεταγμένως καὶ εὐσχημόνως ζῆν* 15 *γεγόναμεν, τοῦ λόγου εἰς τοῦτο ἡμῖν καθάπερ ἐπισκόπου καὶ ἄρχοντος ὑπὸ τῆς φύσεως δεδομένου. ἀπολυθῆναι μέντοι ἀγνοίας καὶ ἀκρασίας οὐχ οἷόν τε ἡμᾶς ἄνευ τοῦ ἐπιτρέψαι αὐτοὺς τῇ διὰ τοῦ λόγου ἰατρείᾳ· προσελθοῦσα γὰρ*

---

1 ipsius Musonii hanc epistulam non esse sed eius qui sermonibus Musonianis large usus sit docti consentiunt. cf. Wendland quaest. Muson. p. 45 ubi haud pauca ille eaque epistulae plus minus cognata ex Clemente Al. composuit. alia id genus addidit C. Praechter *Hierokles* passim. adscribo potiora
11 *ὁδῷ ζ.*] cf. supra p. 89, 1

---

1 Epistologr. gr. p. 401 ss. Herch.; *A* = codex Mazarineus 611 A, *a* = ed. Aldina ‖ **2** *ἐπαγγελλομένων A* ‖ **9** *δυνηθῶσιν A* | *δυεῖν* (sup. *οι*) *A*: corr. Hercher ‖ **13** *ἀγνοίας A ἀγνείας a* ‖ **17** *δεδομένου A διδομένου a* ‖ **18** opto *ἐπιτρέψαι ἑαυτοὺς* cf. v. 12

αὕτη καὶ τὸ προεστηκὸς ἐν ἡμῖν ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ
κατὰ φύσιν αἰεὶ τρέπουσα τὰς μὲν μοχθηρὰς τῶν κρίσεων
καὶ ἐκ τῆς διαστροφῆς ἐγκειμένας ἐπικόπτειν καὶ ἐξάγειν ἐκ
τῆς ψυχῆς ἀεὶ πειρᾶται, τὰς δ' ὑγιεῖς καὶ ἀκολούθους τῇ
5 φύσει ἀντεισάγειν ἢ ἀσθενούσας ἀνακτᾶσθαι. (3) ἰσχὺν δὲ
αὗται καὶ εὐστάθειαν προσλαβοῦσαι ὡς χρὴ ἡμᾶς ἐν ἅπασι
τοῖς κατὰ τὸν βίον ὁδηγοῦσιν, ὥστε καὶ ὁρᾶν ἀεὶ τὰ ἐπι-
βάλλονθ' ἡμῖν καὶ σύμφωνα οἷς ἐδοκιμάσαμεν πράττειν.
τοιαῦτα οὐκ ἐπαγγελλομένης μόνον ἀλλὰ καὶ παρεχούσης
10 τῆς κατὰ τὴν ψυχὴν ἰατρείας τίνα ἄν τις δικαιότερον ἐπὶ
τὸ βοηθεῖν τοῖς σοῖς παισὶν ἢ σὲ καλέσειεν; ἢ οὐκ εὐδαι-
μονεῖν μὲν αὐτοὺς προαιρῇ πατὴρ ὤν, ἑτοίμως δ' ἔχεις πᾶν
ὁτιοῦν ὑποστῆναι, ἵνα αὐτοὺς ὁρᾷς ἐν ἀγαθοῖς ὄντας; ἢ οὐκ
ἐπὶ ταῦτα καὶ ἐγέννησας αὐτοὺς καὶ ἀνεθρέψω; οὐ τοιαῦτα
15 δὲ διηνεκῶς σὺ περὶ αὐτῶν εὔχῃ τοῖς θεοῖς; (4) ἀρετῆς
δὲ καὶ εὐσχημοσύνης βίου ἀντιποιούμενος οὐκ ἂν ἐθελή-
σειας ὁρᾶν τοὺς σεαυτοῦ παῖδας εὐτάκτους μὲν ἐν ἐδωδαῖς
καὶ πόσεσι, κρατοῦντας δὲ τῶν ὑπὸ γαστέρα, ὡς πρὸς σπο-
ρὰν μόνον τέκνων, ὅταν εὔκαιρον ᾖ, τοῖς γεννητικοῖς μέρεσι
20 χρῆσθαι, καὶ ὀλίγῳ μὲν ὕπνῳ πρὸς ἀνάπαυσιν ἀρκουμένους,
ἐσθῆτι δὲ ἀπράγμονι καὶ μὴ ἐψευσμένῃ, ἀλλὰ καθαρᾷ καὶ
πρὸς τὸ ἐκ τῆς φύσεως εἰς τὸ σκέπειν ἀπαιτούμενον ἡρ-
μοσμένῃ ἠμφιεσμένους, βλέμμα δ' εἶναι καὶ βάδισμα αὐτῶν

---

16 εὐσχημ.] cf. Musonius p. 100, 3 **17** cf. Clemens Al. paed. II 90 p. 224 P. χρὴ . . . κρατεῖν τε ἡδονῶν, γαστρός τε ἔτι καὶ τῶν ὑπὸ γαστέρα δεσπόζειν ἀρχικώτατον (ἀρχικώτατα Wendland quaest. Mus. p. 44) . . . πῶς οὐχὶ πολὺ πλέον τοῦ συνουσιαστικοῦ ἐπικρατητέον μορίου τοῖς σοφίαν διώκουσιν; **21** ut simplici vestitu utamur πᾶν ὅσον ἀπατηλὸν καὶ τῆς ἀληθείας καταψευδόμενον παρωσάμενοι hortatur etiam Clemens Al. paed. III 53 p. 285 P. **23** Clemens Al. paed. II 60 p. 204 P. καθεστὼς δὲ καὶ τὸ βλέμμα ἔστω ibid. III 59 p. 288 P. καὶ στάσιν καὶ κίνησιν καὶ βάδισμα . . . ὅτι μάλιστα ἐλευθεριώτατον ἐπαναιρετέον

---

1 τὸ (ante προεστηκὸς) om. *A* ‖ **2** ἀεὶ scr. Hercher ‖ **5** δ' *A* ‖ **9** τοιαῦτα *A* τοιαῦτα δὲ *a* ‖ **11** καλέσει in ras. *A* ‖ **17** ἑαυτοῦ codd.: corr. Hercher ‖ **18** κρατοῦντες *A* ¦ ὑπὸ *A* ὑπὸ τὴν *a* ¦ σπορὰς *A*

αἰδοῖ καὶ φρονήσει κεχαρακτηρισμένον, ὡς μὴ ἄν τινα θαρσῆσαι ἐπ' αὐτῶν ἢ ποιῆσαί τι ἢ εἰπεῖν ἄκοσμον, ἐν ἑτοίμῳ δ' εἶναι αὐτοῖς ὁπότε βουληθεῖεν καὶ δεήσειεν ὅλῳ τε τῷ σώματι καὶ παντὶ μέρει αὐτοῦ εἰς ὃ πέφυκε χρῆσθαι; (5) οὐκ ἂν δὲ ἐθελήσειας αὐτοὺς ἐπεσκεμμένους τὰ 5 θεῖα καὶ τὰ ἀνθρώπινα πρὸς μὲν θεοὺς εὐσεβείᾳ καὶ ὁσιότητι κοσμεῖσθαι, πρὸς ἀνθρώπους δὲ δικαιοσύνῃ καὶ ὁσιότητι, καὶ πατρίδα μὲν γονέων προτιμᾶν, καὶ αὐτῶν τοῦτο βουλησομένων τῶν γονέων εἴπερ σωφρονοῖεν, γονεῖς δὲ τῶν οἰκείων καὶ συγγενῶν, αὐτῶν δὲ τῶν γονέων τῷ πατρὶ τὸ 10 πρεσβεῖον ἀπονέμοντας, τὸ μὲν αἰτεῖν ἢ μέμφεσθαι θάτερον αὐτῶν ἀσεβὲς ἡγεῖσθαι, τὸ δ' ἀμείβεσθαι ὑπὲρ τῶν προηγησαμένων εὐχαρίστῳ καὶ μνημονευούσῃ διαθέσει ἀναγκαῖον, ὡς ἂν μόνως οὕτως ἐκτίνειν δυναμένους παλαιὰς χάριτας ἐπὶ νέαις δανεισθείσας, ἑτοίμως δ' ἔχοντας ὑπερμαχεῖν αὐτῶν 15 καὶ δι' αὐτοὺς εἰ δεήσειεν ἀποθνήσκειν, ὁπότε δὲ χαλεπήνειαν, μὴ ῥήματα μόνον, ἀλλὰ καὶ πληγὰς καὶ τραύματα ἀπ' ὀργῆς οὐ διαθέσεως φερόμενα πρᾴως ἐκδέχεσθαι, οὐχ ὑπὲρ ἑαυτῶν τότε, ἀλλ' ὑπὲρ τῶν γονέων εὐλαβῶς ἔχοντας, μὴ ἐκ τοῦ διατιθέναι αὐτοί τι κακὸν πάθωσι; (6) τί δ' οὐκ 20 ἂν ὑπομείνειας, ὥστε πεισθῆναι περὶ αὐτῶν, ὅτι τὸν αὐτὸν μὲν οἰκήσουσι διὰ βίου οἶκον, ἑαυτοὺς δὲ καὶ τὰ ἑαυτῶν ἐν κοινῷ θέμενοι διατελέσουσιν ὁμονοοῦντες, ὡς καὶ σπουδαῖς καὶ ἀνέσεσι ταῖς αὐταῖς χρῆσθαι; ἢ ταῦτα μὲν ἐθελή-

---

8 cf. Cicero de off. I 17, 58 (i. e. Panaetius) *sed si contentio quaedam et comparatio fiat, quibus plurimum tribuendum sit officii, principes sint patria et parentes. quorum beneficiis maximis obligati sumus, proximi liberi totaque domus . . ., deinceps bene convenientes propinqui* comparavit C. Praechter *Hierokles* p. 12 **11** cf. Hierocles Stob. flor. 79, 54 III p. 98, 17 M. **15** δανεισθείσας] cf. Hierocles Stob. l. c. III p. 96, 23 M. **23** ὁμονοοῦντες] cf. Musonius p. 81, 8

---

1 φρονήματι *A* ‖ **2** αὐτοῖς *A* ‖ **3** δεήθειεν (sic) *A* ‖ **5** οὐκ ἂν] οὐ καὶ *A* ‖ **8** μὲν om. *A* ‖ **10** τῶν om. *A* ‖ **13** εὐχαρίστῃ *A* ‖ **14** μόνους *A* ‖ **16** δὲ] τὸν *A* ‖ **20** διατιθέναι] 'malim κακῶς διατιθέναι' Hercher, poterat lenius μὴ ἐκ τοῦ ⟨μὴ εὖ⟩ διατιθέναι | πάθωσιν *A*

σειας ἂν αὐτοῖς ὑπάρξαι, θανάτου δὲ καὶ πόνου καὶ δόξης οὐκ ἂν βούλοιο αὐτοὺς ὑπεράνω εἶναι, οἷς ὁ πολὺς καταδεδουλωμένος, ὅποι ἂν ἀπίῃ, τῷ δι' αὐτῶν κατισχύοντι ὥσπερ τι ἄτιμον ἀνδράποδον ἄγεταί τε καὶ φέρεται, τὸ δὲ
5 τῇ φύσει μὲν πολὺ ῥαδιώτερον τῶν προτέρων, ἐν δὲ τοῖς καθ' ἡμᾶς χρόνοις ὑπὸ τῆς ἐπὶ τοσαῦτα κατεχούσης διαστροφῆς γεγονὸς δυσχερέστερον οὐκ ἂν εὔξαιο αὐτοῖς ὑπάρξαι, ὥστε μὴ ἀργυρίῳ αὐτοὺς πάντα μετρεῖν καὶ αὐτοὺς μᾶλλον καὶ γονεῖς καὶ τέκνα ἢ χρήματα προΐεσθαι, ἀλλὰ
10 κτήσεως μὲν ἀντιποιεῖσθαι ἐφ' ὅσον ἀναγκαῖον διὰ τὰς εἰς αὐτοὺς καὶ τοὺς οἰκείους αὐτῶν χρείας, θησαυρισμοῦ δὲ καὶ τοῦ πλείονος παρὰ τὸ ἀρκοῦν ὑπερφρονεῖν, ὑφ' ὧν ἰδίᾳ τε καὶ κοινῇ εἰς κακὰ ἐπάλληλα καὶ ἀνήκεστα ἄνθρωποι ἐκτρέπονται; (7) ἀλλὰ ταῦτα μὲν εὐκτά, οὐκ ἐπί-
15 σης δ' εὐκτὸν τό τε ἄρχειν αὐτοὺς καὶ δικάζειν δύνασθαι κατὰ νόμους καὶ τὸ δίκαιον, καὶ τὸ συμφωνοῦντας ἑαυτοῖς τε καὶ ἀλλήλοις καὶ ἐν οἷς πράττουσι καὶ ἐν οἷς λέγουσι τὸν μὲν βίον ἔχειν ἀεὶ προαιρησόμενον τοὺς λόγους, τὸν δὲ λόγον νῷ καὶ τῷ φρονεῖν τὰ ἄριστα βεβαιούμενον καὶ εἰς
20 προφορὰν ὅταν ᾖ καιρὸς ἐντεινόμενον, καὶ τόνδ' ἡγεῖσθαι, ἐπειδὰν ὑπερμαχεῖν μέλλωσιν ἱερῶν, πατρίδος, γονέων, φίλων, ἀληθείας, νόμων, καὶ συλλαβόντι εἰπεῖν τῶν ἀδικουμένων; οὔτε γὰρ σὲ οὔτε ἕτερόν τινα οἴομαι, εἴπερ εὖ φρονοίη, ὡς πολιτικὸν δοκιμάζειν λόγον τὸν μὴ εἰς ταῦτα ἀλλ' εἰς τὰ-
25 ναντία ἐντεινόμενον. (8) εἰ τοίνυν καὶ εὐκτὰ ταῦτα καὶ αἱρετά, πῶς οὐ καὶ τὸ φιλοσοφεῖν θείη ἄν τις καὶ εὐκτὸν καὶ αἱρε-

---

1 cf. Stobaeus flor. 86, 19 M. Διογένης πυνθανομένου τινὸς τίνες τῶν ἀνθρώπων εὐγενέστατοι 'οἱ καταφρονοῦντες' εἶπε πλούτου δόξης ἡδονῆς ζωῆς, τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες πενίας ἀδοξίας πόνου θανάτου

---

2 ὁ πολὺς] ὄχλος videtur excidisse Herchero vel ὅμιλος vel ἄνθρωπος. at certe Phrynichus bis dicit ὁ πολύς (pro οἱ πολλοί) p. 280 et 481 Rutherf. servavi igitur indicium scriptae vix ante Commodi aetatem epistulae ‖ 5 ῥαδιέστερον scr. Hercher, tu vide Croenert mem. gr. Herc. p. 196 adn. 8 ‖ 6 κατεχούσης sic *Aa* ‖ 11 θησαυρισμῶν *A* ‖ 17 λέγουσιν *A*

τόν, δι' οὗ μόνου περιγίνεται ταῦτα; φιλοσοφεῖ μὲν γὰρ ὁ τῆς ἐκκαθάρσεως τοῦ λόγου ἐπιμελούμενος καὶ ἐπιτηδεύων λόγον ὀρθόν, ὁ δ' ἐπιμελούμενος λόγου ἑαυτοῦ τε ἅμα ἐπιμελεῖται καὶ πατρίδος καὶ πατρὸς καὶ ἀδελφῶν καὶ φίλων καὶ συλλαβόντι εἰπεῖν πάντων. θεωροὺς γὰρ ἡ φύσις κόσμου καὶ τῶν ἐν αὐτῷ κατασκευάσασα, διὰ τοῦ μεταδοῦναι ἡμῖν λόγου, κοινοῦ μὲν ὄντος πρὸς τούτους, ἰδίου δὲ παρὰ τὰ ἄλλα ζῷα, ἀξιοῖ ἡμᾶς τοὺς μὲν θεοὺς καθάπερ τινὰς ἀρίστους καὶ πρώτους ἡγεμόνας καὶ κοινοὺς εὐεργέτας τε ἡμῶν καὶ γονεῖς ζηλοῦν τε καὶ ἀμείβεσθαι διὰ τῆς πρὸς αὐτοὺς εὐπειθείας, ἀνθρώπων δὲ καὶ κατὰ τὸ κοινὸν καὶ κατὰ τὰς ἰδιαίτερον γινομένας ἐπιπλοκὰς καὶ κηδεμονικῶς καὶ εὐποιητικῶς προΐστασθαι. (9) ἐπειδὰν δὲ νόμῳ καὶ δίκῃ συγκεράσωμεν τὰ ἀνθρώπινα καὶ τὰ θεῖα, φησὶν ἄκρως μὲν κατὰ φύσιν ἡμᾶς διατεθήσεσθαι ἅτε τελείους γεγονότας καὶ ἐπὶ τὰ ἀνωτάτω προελθόντας, νόμον καὶ δίκην, οἷς καὶ τὰ θεῖα οἰακίζεταί τε καὶ μακάρια γίνεται, τοιούτους δ' ὄντας διὰ τὴν τοῦ λόγου καὶ τοῦ κατ' αὐτὸν σχηματιζομένου ἤθους ὀρθότητα καὶ βιώσεσθαι εὐδαιμόνως καὶ καταστρέψειν τὸν βίον εὐδαιμόνως, ὥσπερ τι δρᾶμα εὖ συντεταγμένον ἀπ' ἀρχῆς μέχρι τέλους ἀστείως ὑποκριναμένους καὶ ἀπαρτίσαντας. (10) θαρρῶν οὖν, ὦ Παγκρατίδη, μὴ ἐπίτρεπε μόνον ἀλλὰ καὶ παρακάλει τοὺς παῖδας φιλοσοφεῖν, καὶ συναγωνιστὴν παρέχων σεαυτὸν διέγειρε αὐτούς, καὶ πασῶν ἁρμοδιωτάτην παρρησίαν παρασκεύαζε. ἐξέσται γάρ σοι τοιαῦτα προελομένῳ καὶ πρὸς τοὺς ἐξ αἵματος ὑμῖν δικαίους ὄντας λέγειν, ὅτι οὐ τέκνα μόνον εἰς τὸ γένος ἀλλὰ καὶ τοιάδε τέκνα εἰσήγαγες, καὶ πρὸς τὴν πατρίδα, ὅτι οὐχ οἵους ἔτυχε μόνον ἀνθρώπους αὐτῇ ἀλλὰ καὶ οἵους δεῖ πολίτας παρέστησας. (11) εἰ δὲ θαρρήσετε κοινῇ καὶ πρὸς τὴν

---

19 ss. de imagine cf. Teles p. 11, 5 et quae composui prol. in Tel. p. XCVIII s.

---

10 τε om. *A* si recte intellego Hercherum ‖ **12** κηδαιμονικῶς *A* ‖ **16** οἷς *A*: οἷαν *a* ‖ **23. 24** καὶ συναγωνιστὴν — διέγειρε αὐτοὺς acc. ex *A* ‖ **25** ἁρμονιωτάτην *A* ‖ **30** πρὸς om. *A*

ἑαυτῶν τε καὶ ἀλλήλων θεραπείαν ὡς ἄξιόν ἐστι διαναστήσετε τὰς ψυχάς, εὐθὺς μὲν ἐν τῇ ἀγωνοθεσίᾳ τοῦ θεοῦ συμφιλοσοφήσετε ἀλλήλοις, οὐ μόνον τὰ νομιζόμενα παρασκευάζοντες αὐτῇ, ἅπερ ἐκ βαλαντίου ψιλοῦ γίνεται, ἀλλὰ
5 καί, οὗ ἕνεκεν νενόμισται, ἀκολουθοῦντες τῇ ἱερᾷ καὶ ἀρχαίᾳ παραδόσει, ὅπερ ἐκ μόνης τῆς εὐσεβοῦς καὶ φιλοσόφου περιγίνεται διαθέσεως, καὶ ἀπὸ τῆς ἐν τῷ ἀγῶνι εὐταξίας ἐπὶ τὸν κοινὸν ὑμῖν τε καὶ πᾶσιν ἡμῖν ἀγῶνα τραπήσεσθε, οὐδὲν μὲν τῶν κατὰ φύσιν ἀφαιρησόμενον, μόνα δὲ τὰ
10 λύπης καὶ θορύβου αἴτια ἡμῶν περισπάσοντα. (12) ἐν ᾧ ἀγῶνι ἡττηθῆναι μὲν ἀνάγκη τὸν ἀπαράσκευον, ἡττηθέντα δὲ ἐκπεσεῖν χρὴ εἰς δουλείαν καὶ κακοδαιμονίαν, ἣν οὐδ' ἐξομόσασθαί τινι ἡμῶν συγκεχώρηται· κρατούμεθα γὰρ ἐν αὐτῇ ὑπό τε τῶν ἀιδίων καὶ τῶν τῆς φύσεως καὶ ὑπὸ τῶν
15 θέσει νόμων, εὐτακτεῖν ἑκάστῳ καὶ ζῆν δικαίως ἅμα καὶ ὁσίως προστασσόντων. ταῦτα οἶμαί σε ὡς παρὰ πατρὸς παίδων πατέρα προσδεξάμενον αὐτόν τε ἄμεινον ἕξειν καὶ τοῖς υἱοῖς εἰς τὰ ἄριστα συλλήψεσθαι. ἀσπάζομαί σε καὶ διὰ τἄλλα καὶ διὰ τὴν εἰς ἡμᾶς εὔνοιαν. ἴσθι ὑπ' ἐμοῦ
20 στεργόμενος. τοιούτων δὲ καὶ ἑτέρων φιλοσοφοῦντες εὐπορήσετε φίλων.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Βούλομαι παρὰ σὲ ἀφικόμενος κοινωνῆσαί σοι λόγου καὶ

---

22 Philostratus Apollon. vit. IV c. 46 p. 85, 13 Kays. ἐτύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον καὶ Μουσώνιος κατειλημμένος ἐν τοῖς δεσμωτηρίοις τοῦ Νέρωνος, ὃν φασι τελεώτατα ἀνθρώπων φιλοσοφῆσαι, καὶ φανερῶς μὲν οὐ διελέγοντο ἀλλήλοις παραιτησαμένου τοῦ Μουσωνίου τοῦτο, ὡς μὴ ἄμφω κινδυνεύ-

---

1 τε om. *A* | διαναστήσετε Hercher: διαναστῆτε libri ‖ 2 τὰς ψυχὰς Hercher: ταῖς ψυχαῖς libri ‖ 4 γίνεται *A* γίγνεται *a* ‖ 7 διαθέσει *A* ‖ 10 περισπάσονται *A* ‖ 12 δ' *A* ‖ 22 iteravimus has ineptias fere ex epistolographis Hercheri p. 127 s., qui adnotavit diversitates quae inter Kayseri recensionem (*k*) et Laurentianum LVII 12 (*L*) sive Aldinam (*a*) intercedunt

στέγης, ὥς τι ὀνήσαιμί σε, εἴ γε μὴ ἀπιστεῖς, ὡς Ἡρακλῆς ποτὲ Θησέα ἐξ Ἅιδου ἔλυσε. γράφε τί βούλει. ἔρρωσο.

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Ὧν μὲν ἐνενοήθης, ἀποκείσεταί σοι ἔπαινος· ἀνὴρ δὲ ὁ ὑπομείνας ἀπολογίαν καὶ ὡς οὐδὲν ἀδικεῖ δείξας ἑαυτὸν 5 λύει. ἔρρωσο.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης ὁ Ἀθηναῖος ὑπὸ τῶν ἑαυτοῦ φίλων λυθῆναι μὴ βουληθεὶς παρῆλθε μὲν ἐς τὸ δικαστήριον, ἀπέθανε δέ. ἔρρωσο. 10

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης ἀπέθανεν, ἐπεὶ μὴ παρεσκεύασεν ἑαυτὸν εἰς ἀπολογίαν, ἐγὼ δὲ ἀπολογήσομαι. ἔρρωσο.

σειαν, ἐπιστολιμαίους δὲ τὰς ξυνουσίας ἐποιοῦντο φοιτῶντος ἐς τὸ δεσμωτήριον τοῦ Μενίππου καὶ τοῦ Δάμιδος. τὰς δὲ οὐχ ὑπὲρ μεγάλων ἐπιστολὰς ἐάσαντες τὰς ἀναγκαίας παραθησόμεθα κἀξ ὧν ὑπάρχει κατιδεῖν τι μέγα. 'Ἀπολλώνιος Μουσωνίῳ — (c. 47 p. 85, 28) ἀπολογήσομαι. ἔρρωσο'. cf. Suidas s. v. Μουσώνιος: πρὸς ὃν (sc. Μουσώνιον) καὶ ἐπιστολαὶ φέρονται Ἀπολλωνίου, κἀκείνου πρὸς Ἀπολλώνιον

---

1 ὀνήσαιμί σε. εἴ γε et mox ἔλυσε, γράφε distinguit *k* ‖ 4 διενοήθης *La* | δὲ ὁ] δὲ *La* ‖ 6 λύει abest a *k* ‖ 8 ὁ abest a *k* ‖ 9 τὸ non legitur in *k* ‖ 12 ἐς ἀπολογίαν ἑαυτόν *k*

INDICES MVSONIANI.

NOMINA MVSONII DISSERTATIONVM A LVCIO DIGESTARVM.

NOMINA MVSONII FRAGMENTORVM MINORVM.

MEMORABILIA.

praeter res quasdam commemoratione dignas recepi vocabula aliunde non nota aut serioris aetatis, formulas aliquot dicendi, denique nonnulla quae ad grammaticas quaestiones pertinent.

ADDENDA.

p. 2, 20 τὸ secludi vult Elter coll. 2, 13 ‖ 3, 3 delenda virgula ante πλειόνων ‖ 5, 4 τοῦ φιλοσόφου ⟨βίου⟩ mavult Elter ‖ 5, 16 ⟨ὑγιῆ⟩ εἶναι καὶ ἀλ. prop. Elter ‖ 6, 4 in adn. inf. deleantur v. *cum lemmate* ‖ 7, 18 ἂν ⟨ὅτι⟩ ἀγαθός praefert Elter idque mihi quoque in mentem venit ‖ 7, 20 ἢν τυγχάνοι prop. Elter ‖ 8, 10 τις incertum ‖ 9, 6 leg. ὀσφραίνεσθαι ‖ 12, 15 post οὐδέν intercidit distinctio ‖ 16, 9 de lacuna dubitat Elter ‖ 18, 1 τοῦτο δὲ κακὸν καὶ ταὐτὸν ἀ. commendat Elter ‖ 18, 14 leg. εὖ ποιεῖν et in adn. addatur: 14 εὐποιεῖν L ‖ 20, 7 leg. ὡς ὅ τι ἐμπ. ‖ 27, 11 ἐπεὶ οὖν ταῦτα, φημί, ταύτῃ ἔχει prop. Elter ‖ 30, 14 οὐδ᾽ ὑπὲρ ci. Elter ‖ 37 adn. 2 al. Xenophon ‖ 41, 5 Φυγήν, γὰρ ἔφη, πῶς rectius distinguit Elter ‖ 42, 2 l. ἐστίν ‖ 42, 5 ἀξιοῖ τις mavult Elter ‖ 54, 13 l. λοιδορηθεὶς ‖ 55, 2 l. Heylbut ‖ 59, 9 τί δέ; — λαμβάνειν; non interlocutoris esse recte monet Elter ‖ 60, 16 μετὰ defendit Elter ‖ 64, 1 ἢ μὴ κακοὺς ⟨εἶναι ἀξιοῦντας⟩ sim. proponit Elter ‖ 65, 9 ἀποφαίνει Elter (cf. Clem.) ‖ 66, 19 malo nunc ἂν μ. ἀκρατέστεροι φαίνωνται ὄντες, ⟨φαίνονται ὄντες⟩ καὶ κακίονες coll. 44, 8 ‖ 72, 3 l. ᾖ; ‖ 73, 8 verum puto nunc τοῦ πέλας· πῶς οὐ καὶ — περιβλητέον; cf. 78, 1. 6 ‖ 76, 7 l. μᾶλλόν ἐστιν ‖ 79, 7 καὶ incertum. ἢ prop. Elter ‖ 83, 10 καθὸ ἀπειθεῖς Elter ‖ 84, 16 post γονεῦσιν leniter distinguendum ‖ 87, 9 interim conicio εἰ δὴ τῷ πείθεσθαι [θεῷ] τῷ ⟨πατρὶ τῷ σῷ⟩ ἀνθρώπῳ ἕπεσθαι μ. ‖ 89, 14 leniter distinguas post πράττει.

BIBLIOTHECA TEVBNERIANA – REPRINTS

Iurisprudentiae antehadrianae quae supersunt

Herausgegeben von F. P. Bremer †

Pars I. Liberae rei publicae iuris consulti

Reprint der 1. Auflage von 1896
V, 424 Seiten
Leinen DDR 45,– M; Ausland 45,– DM

ISBN 3-322-00140-7

6662333/Bremer, Iurispr. I lat.

Pars II. Primi post principatum constitutum saeculi iuris consulti. Sect. 1

Reprint der 1. Auflage von 1898
IV, 582 Seiten
Leinen DDR 55,– M; Ausland 55,– DM

ISBN 3-322-00141-5

6662341/Bremer, Iurispr. II/1 lat.

Pars II. Primi post principatum constitutum saeculi iuris consulti. Sect. 2

Reprint der 1. Auflage von 1901
XXVI, 639 Seiten
Leinen DDR 65,– M; Ausland 65,– DM

ISBN 3-322-00142-3

6662368/Bremer, Iurispr. II/2 lat.



BSB B. G. TEUBNER
VERLAGSGESELLSCHAFT LEIPZIG

BIBLIOTHECA TEVBNERIANA – REPRINTS

Iurisprudentiae anteiustinianae reliquiae

Herausgegeben von Ph. E. Huschke †, B. Kübler † und E. Seckel †

Vol. I

Reprint der 6. Auflage von 1908
XXXI, 503 Seiten
Leinen DDR 57,– M; Ausland 57,– DM

ISBN 3-322-00453-8

666 445 1/Huschke, Iurisprud. I lat.

Vol. II (Fasc. 1 und 2 in einem Band)

Reprint der 6. Auflage von 1911 und 1927
III, 188 Seiten und III, 189–543 Seiten
Leinen DDR 61,– M; Ausland 61,– DM

ISBN 3-322-00454-6

666 447 8/Huschke, Iuris. II/1 + 2 lat.

Scriptores originum Constantinopolitanarum

Fasc. 1 und 2 in einem Band

Herausgegeben von Th. Preger †
Reprint der 1. Auflage von 1901 und 1907
XX, 134 und XXVI, 135–376 Seiten
Leinen DDR 49,– M; Ausland 49,– DM

ISBN 3-322-00677-8

666 512 0/Preger, Constantinopol. gr.



BSB B. G. TEUBNER
VERLAGSGESELLSCHAFT LEIPZIG